e γειν. δοκεῖ οὖν μοι ὁ ἐπιστάμενός τι αἰσθάνεσθαι τοῦτο ὃ ἐπίσταται, καὶ ὥς γε νυνὶ φαίνεται, οὐκ ἄλλο τί ἐστιν ἐπιστήμη ἢ αἴσθησις.

ΣΩ. Εὖ γε καὶ γενναίως, ὦ παῖ· χρὴ γὰρ οὕτως ἀποφαινόμενον λέγειν. ἀλλὰ φέρε δὴ αὐτὸ κοινῇ σκεψώμεθα, γόνιμον ἢ ἀνεμιαῖον τυγχάνει ὄν. αἴσθησις, φῄς, ἐπιστήμη;

ΘΕΑΙ. Ναί.

ΣΩ. Κινδυνεύεις μέντοι λόγον οὐ φαῦλον εἰρηκέναι περὶ ἐπι-
152 στήμης, ἀλλ' ὃν ἔλεγε καὶ Πρωταγόρας. τρόπον δέ τινα ἄλλον εἴρηκε τὰ αὐτὰ ταῦτα. φησὶ γάρ που "πάντων χρημάτων μέτρον" ἄνθρωπον εἶναι, "τῶν μὲν ὄντων ὡς ἔστι, τῶν δὲ μὴ ὄντων ὡς οὐκ ἔστιν." ἀνέγνωκας γάρ που;

ΘΕΑΙ. Ἀνέγνωκα καὶ πολλάκις.

ΣΩ. Οὐκοῦν οὕτω πως λέγει, ὡς οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται τοιαῦτα μὲν ἔστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα δὲ αὖ σοί· ἄνθρωπος δὲ σύ τε κἀγώ;

ΘΕΑΙ. Λέγει γὰρ οὖν οὕτω.

b ΣΩ. Εἰκὸς μέντοι σοφὸν ἄνδρα μὴ ληρεῖν· ἑπακολουθήσωμεν οὖν αὐτῷ. ἆρ' οὐκ ἐνίοτε πνέοντος ἀνέμου τοῦ αὐτοῦ ὁ μὲν ἡμῶν ῥιγῷ, ὁ δ' οὔ; καὶ ὁ μὲν ἠρέμα, ὁ δὲ σφόδρα;

ΘΕΑΙ. Καὶ μάλα.

ΣΩ. Πότερον οὖν τότε αὐτὸ ἐφ' ἑαυτοῦ τὸ πνεῦμα ψυχρὸν ἢ οὐ ψυχρὸν φήσομεν; ἢ πεισόμεθα τῷ Πρωταγόρᾳ ὅτι τῷ μὲν ῥιγῶντι ψυχρόν, τῷ δὲ μὴ οὔ;

ΘΕΑΙ. Ἔοικεν.

ΣΩ. Οὐκοῦν καὶ φαίνεται οὕτω ἑκατέρῳ;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τὸ δέ γε "φαίνεται" αἰσθάνεσθαί ἐστιν;

ΘΕΑΙ. Ἔστιν γάρ.

---

b3 ῥιγῷ edd.: ῥιγοῖ **c** Anon. b7 ῥιγῶντι edd.: ῥιγοῦντι **c** Anon. b11 αἰσθάνεσθαί ἐστιν **c** Burnet: αἰσθάνεταί ἐστιν Faehse, Hicken: αἰσθάνεται Anon.

ὅποιος γνωρίζει κάτι αἰσθάνεται αὐτὸ ποὺ γνωρίζει καί, ὅπως μοῦ φαίνεται πρὸς τὸ παρόν, ὅτι ἡ γνώση δὲν εἶναι τίποτε ἄλλο ἀπὸ αἴσθηση.[16]

ΣΩ. Ὡραῖα καὶ μὲ θάρρος εἰπωμένο, παιδί μου. Ἔτσι πρέπει νὰ δίνει κανεὶς τὶς ἀπαντήσεις του. Ἔλα ὅμως, καὶ ἂς ἐξετάσουμε ἀπὸ κοινοῦ, ἂν αὐτὸ εἶναι κάτι γόνιμο ἢ ἀνεμογκάστρι. Λὲς ὅτι ἡ γνώση εἶναι αἴσθηση;

ΘΕΑΙ. Ναί.

ΣΩ. Φαίνεται πὼς αὐτὸ ποὺ λὲς γιὰ τὴ γνώση εἶναι κάτι διόλου ἀσήμαντο. Εἶναι αὐτὸ ποὺ ἔλεγε καὶ ὁ Πρωταγόρας. Ἀλλὰ διατύπωνε τὸ ἴδιο ἀκριβῶς πράγμα κάπως ἀλλιῶς. Διότι λέει κάπου ὅτι «ὁ ἄνθρωπος εἶναι τὸ μέτρο ὅλων τῶν πραγμάτων, τῶν μὲν ὄντων ὅτι ἰσχύουν καὶ τῶν μὴ ὄντων ὅτι δὲν ἰσχύουν». Τὸ ἔχεις διαβάσει αὐτό;

ΘΕΑΙ. Τὸ ἔχω διαβάσει, καὶ πολλὲς φορὲς μάλιστα.

ΣΩ. Συνεπῶς λέει κάτι τέτοιο, πὼς ὅπως μοῦ φαίνεται τὸ καθετί, ἔτσι καὶ εἶναι γιὰ ἐμένα, ἐνῶ ὅπως σοῦ φαίνεται ἐσένα, ἔτσι εἶναι γιὰ ἐσένα· ἀφοῦ καὶ ἐσὺ εἶσαι ἄνθρωπος καὶ ἐγώ.

ΘΕΑΙ. Ναί, ἔτσι ἰσχυρίζεται.[17]

ΣΩ. Εἶναι εὔλογο πὼς αὐτὸ ποὺ λέει ἕνας σοφὸς ἄνθρωπος δὲν εἶναι κουταμάρα. Ἂς τὸν ἀκολουθήσουμε λοιπόν. Ἄραγε, ὅταν πνέει ὁ ἴδιος ἄνεμος, μερικὲς φορὲς δὲν συμβαίνει ὁ ἕνας ἀπὸ ἐμᾶς νὰ ἔχει ρίγη καὶ ὁ ἄλλος ὄχι; Ἢ ὁ ἕνας νὰ νιώθει λίγη ψύχρα καὶ ὁ ἄλλος πολλή;

ΘΕΑΙ. Ἀσφαλῶς.

ΣΩ. Τί λοιπόν, θὰ ποῦμε τότε ὅτι ἡ πνοὴ τοῦ ἀνέμου καθαυτὴν εἶναι καὶ ψυχρὴ καὶ ὄχι ψυχρή; Ἢ θὰ συμφωνήσουμε μὲ τὸν Πρωταγόρα καὶ θὰ ποῦμε ὅτι γι' αὐτὸν ποὺ ἔχει ρίγη εἶναι ψυχρή, ἐνῶ γι' αὐτὸν ποὺ δὲν ἔχει ὄχι;

ΘΕΑΙ. Ἔτσι μοιάζει.

ΣΩ. Καὶ ἐπὶ πλέον ὅτι φαίνεται ἔτσι στὸν καθένα μας;

ΘΕΑΙ. Ναί.

ΣΩ. Καὶ τὸ «φαίνεται» σημαίνει ὅτι κάποιος τὸ αἰσθάνεται;

ΘΕΑΙ. Ἔτσι εἶναι.

c ΣΩ. Φαντασία ἄρα καὶ αἴσθησις ταὐτὸν ἔν τε θερμοῖς καὶ πᾶσι τοῖς τοιούτοις. οἷα γὰρ αἰσθάνεται ἕκαστος, τοιαῦτα ἑκάστῳ καὶ κινδυνεύει εἶναι.

ΘΕΑΙ. Ἔοικεν.

ΣΩ. Αἴσθησις ἄρα τοῦ ὄντος ἀεί ἐστιν καὶ ἀψευδὲς ὡς ἐπιστήμη οὖσα.

ΘΕΑΙ. Φαίνεται.

ΣΩ. Ἆρ' οὖν πρὸς Χαρίτων πάσσοφός τις ἦν ὁ Πρωταγόρας, καὶ τοῦτο ἡμῖν μὲν ᾐνίξατο τῷ πολλῷ συρφετῷ, τοῖς δὲ μαθηταῖς ἐν ἀπορρήτῳ τὴν ἀλήθειαν ἔλεγεν;

d ΘΕΑΙ. Πῶς δή, ὦ Σώκρατες, τοῦτο λέγεις;

ΣΩ. Ἐγὼ ἐρῶ καὶ μάλ' οὐ φαῦλον λόγον, ὡς ἄρα ἓν μὲν αὐτὸ καθ' αὑτὸ οὐδέν ἐστιν, οὐδ' ἄν τι προσείποις ὀρθῶς οὐδ' ὁποιονοῦν τι, ἀλλ' ἐὰν ὡς μέγα προσαγορεύῃς, καὶ σμικρὸν φανεῖται, καὶ ἐὰν βαρύ, κοῦφον, σύμπαντά τε οὕτως, ὡς μηδενὸς ὄντος ἑνὸς μήτε τινὸς μήτε ὁποιουοῦν· ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα γίγνεται πάντα ἃ δή φαμεν

e εἶναι, οὐκ ὀρθῶς προσαγορεύοντες· ἔστι μὲν γὰρ οὐδέποτ' οὐδέν, ἀεὶ δὲ γίγνεται. καὶ περὶ τούτου πάντες ἐξῆς οἱ σοφοὶ πλὴν Παρμενίδου συμφερέσθων, Πρωταγόρας τε καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς, καὶ τῶν ποιητῶν οἱ ἄκροι τῆς ποιήσεως ἑκατέρας, κωμῳδίας μὲν Ἐπίχαρμος, τραγῳδίας δὲ Ὅμηρος, <ὃς> εἰπών

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν

πάντα εἰρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως· ἢ οὐ δοκεῖ τοῦτο λέγειν;

ΘΕΑΙ. Ἔμοιγε.

---

e2 ἐξῆς οἱ T^{pc} Stobaeus: ἐξαίσιοι **β**W Eusebius: ἐξαίσιοι οἱ Anon.
e3 συμφερέσθων B^{ac}: συμφέρεσθον DTWB^{pc} Anon.: συμφέρονται Stobaeus
e6 < > Heindorf

ΣΩ. Ἑπομένως, τὸ φαίνεσθαι καὶ ἡ αἴσθηση εἶναι τὸ ἴδιο πράγμα ὅσον ἀφορᾶ τὰ θερμὰ καὶ ὅλα τὰ παρόμοια. Ἀφοῦ, ὅπως προκύπτει, γιὰ τὸν καθένα εἶναι ἔτσι ὅπως τὰ αἰσθάνεται.

ΘΕΑΙ. Ἔτσι θὰ πρέπει νὰ εἶναι.

ΣΩ. Ἄρα ἡ αἴσθηση ἀφορᾶ αὐτὸ ποὺ ἰσχύει κάθε φορὰ καί, ὡς γνώση, θὰ εἶναι ἀψευδής.

ΘΕΑΙ. Εἶναι φανερό.[18]

ΣΩ. Ἄραγε λοιπόν, μά τὶς Χάριτες, λὲς ὁ Πρωταγόρας νὰ ἦταν ἕνας πάνσοφος ἄνθρωπος καὶ νὰ ἄφησε αὐτὴ τὴν αἰνιγματικὴ ρήση γιὰ ἐμᾶς, τὸν πολὺ κοσμάκη, ἐνῶ στοὺς μαθητές του ἔλεγε τὴν ἀλήθεια στὰ κρυφά;

ΘΕΑΙ. Πῶς τὸ ἐννοεῖς αὐτό, Σωκράτη;

ΣΩ. Θὰ σοῦ πῶ ἐγώ. Καὶ μάλιστα πρόκειται γιὰ μιὰ θεωρία διόλου ἀσήμαντη: ὅτι τίποτε δὲν εἶναι ἕνα, αὐτὸ καθαυτό, οὔτε μπορεῖς νὰ τὸ ἀποκαλέσεις ὀρθῶς ὡς κάτι συγκεκριμένο, ἢ νὰ πεῖς ὅτι ἔχει ὁποιοδήποτε συγκεκριμένο χαρακτηριστικό, ἀλλὰ ὅτι ἔτσι καὶ τὸ πεῖς «μεγάλο», αὐτὸ θὰ φανεῖ ἐπίσης μικρό, ἢ ἂν τὸ πεῖς «βαρύ», τότε θὰ φανεῖ ἐλαφρύ, καὶ τὰ πάντα μὲ τὸν ἴδιο τρόπο, ἐπειδὴ κανένα τους δὲν εἶναι ἕνα, οὔτε κάτι συγκεκριμένο, οὔτε διαθέτει ὁποιαδήποτε συγκεκριμένη ἰδιότητα. Καὶ πῶς ὅλα ὅσα λέμε ὅτι «εἶναι» προκύπτουν ἀπὸ τὴ μετακίνηση, τὴν ἀλλαγὴ καὶ τὴν ἀνάμιξη τοῦ ἑνὸς μὲ τὸ ἄλλο, ἀλλὰ ἐμεῖς δὲν τὰ ἀποκαλοῦμε σωστά. Διότι, στὴν πραγματικότητα, κανένα τους δὲν εἶναι ποτὲ τίποτε, ἀλλὰ ὑπόκειται πάντοτε σὲ γίγνεσθαι. Καὶ σὲ αὐτὸ συμφωνοῦν ὅλοι οἱ πιὸ πρόσφατοι σοφοὶ ἐκτὸς ἀπὸ τὸν Παρμενίδη: καὶ ὁ Πρωταγόρας, καὶ ὁ Ἡράκλειτος, καὶ ὁ Ἐμπεδοκλῆς, ἀλλὰ καὶ ἀπὸ τοὺς ποιητὲς οἱ κορυφαῖοι καὶ ἀπὸ τὰ δύο εἴδη, ἀπὸ τὴν κωμωδία ὁ Ἐπίχαρμος καὶ ἀπὸ τὴν τραγωδία ὁ Ὅμηρος, ὁ ὁποῖος εἶχε πεῖ

... ἀπὸ τὸν Ὠκεανό, τὴ γένεση τῶν θεῶν,
καὶ ἀπὸ τὴ μητέρα τους, τὴν Τηθύ,

θέλοντας νὰ πεῖ ὅτι τὰ πάντα εἶναι ἀπότοκα τῆς ροῆς καὶ τῆς μεταβολῆς. Ἢ δὲν νομίζεις ὅτι αὐτὸ ἐννοεῖ;

ΘΕΑΙ. Συμφωνῶ.

153 ΣΩ. Τίς οὖν ἂν ἔτι πρός γε τοσοῦτον στρατόπεδον καὶ στρατηγὸν Ὅμηρον δύναιτο ἀμφισβητήσας μὴ οὐ καταγέλαστος γενέσθαι;

ΘΕΑΙ. Οὐ ῥάδιον, ὦ Σώκρατες.

ΣΩ. Οὐ γάρ, ὦ Θεαίτητε. ἐπεὶ καὶ τάδε τῷ λόγῳ σημεῖα ἱκανά, ὅτι τὸ μὲν εἶναι δοκοῦν καὶ τὸ γίγνεσθαι κίνησις παρέχει, τὸ δὲ μὴ εἶναι καὶ ἀπόλλυσθαι ἡσυχία· τὸ γὰρ θερμόν τε καὶ πῦρ, ὃ δὴ καὶ τἆλλα γεννᾷ καὶ ἐπιτροπεύει, αὐτὸ γεννᾶται ἐκ φορᾶς καὶ τρίψεως· τούτω δὲ κινήσεις. ἢ οὐχ αὗται γενέσεις πυρός;

b ΘΕΑΙ. Αὗται μὲν οὖν.

ΣΩ. Καὶ μὴν τό γε τῶν ζῴων γένος ἐκ τῶν αὐτῶν τούτων φύεται.

ΘΕΑΙ. Πῶς δ' οὔ;

ΣΩ. Τί δέ; ἡ τῶν σωμάτων ἕξις οὐχ ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεως ἐπὶ πολὺ σῴζεται;

ΘΕΑΙ. Ναί.

ΣΩ. Ἡ δ' ἐν τῇ ψυχῇ ἕξις οὐχ ὑπὸ μαθήσεως μὲν καὶ μελέτης, κινήσεων ὄντων, κτᾶταί τε μαθήματα καὶ σῴζεται καὶ γίγνεται βελτίων, ὑπὸ δ' ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης, c οὔτε τι μανθάνει ἅ τε ἂν μάθῃ ἐπιλανθάνεται;

ΘΕΑΙ. Καὶ μάλα.

ΣΩ. Τὸ μὲν ἄρα ἀγαθὸν κίνησις κατά τε ψυχὴν καὶ κατὰ σῶμα, τὸ δὲ τοὐναντίον;

ΘΕΑΙ. Ἔοικεν.

ΣΩ. Ἔτι οὖν σοι λέγω νηνεμίας τε καὶ γαλήνας καὶ ὅσα τοιαῦτα, ὅτι αἱ μὲν ἡσυχίαι σήπουσι καὶ ἀπολλύασι, τὰ δ' ἕτερα σῴζει; καὶ ἐπὶ τούτοις τὸν κολοφῶνα, [ἀναγκάζω] προσβιβάζω τὴν χρυσῆν σειρὰν ὡς οὐδὲν ἄλλο ἢ τὸν ἥλιον Ὅμηρος λέγει,

---

b6 *κινήσεως* W^{ac} Stobaeus 1.168: *κινήσεων* **β**TW^{pc} Stobaeus 3.659 c8 [ ] Cobet, Burnet: om. Hicken *προσβιβάζω* Cobet: *προσβιβάζων* TW Anon., schol.: *προβιβάζων* **β** Stobaeus

ΣΩ. Ποιός λοιπὸν θὰ περίμενε νὰ μὴ γίνει καταγέλαστος μὲ τὸ νὰ ἀμφισβητήσει μιὰ τέτοια στρατιὰ μὲ στρατηγό της τὸν Ὅμηρο;

ΘΕΑΙ. Δὲν θὰ ἦταν εὔκολο, Σωκράτη.[19]

ΣΩ. Δὲν θὰ ἦταν, Θεαίτητε. Ἐπειδὴ γιὰ τὴ θεωρία τους αὐτή, ὅτι τὸ θεωρούμενο ὡς «εἶναι» καὶ τὸ γίγνεσθαι εἶναι ἀποτέλεσμα τῆς μεταβολῆς ἐνῶ ἡ ἀκινησία ἔχει ὡς ἀποτέλεσμα τὸ μὴ εἶναι καὶ τὸν ἀφανισμό, ὑπάρχουν καὶ οἱ ἐξῆς ἀξιόλογες ἐνδείξεις: διότι καὶ τὸ «θερμὸ» καὶ ἡ φωτιά, ἡ ὁποία γεννᾶ καὶ διαφεντεύει τὰ ὑπόλοιπα, γεννιέται αὐτὴ ἡ ἴδια ἀπὸ τὴν κίνηση καὶ τὴν τριβή, ποὺ καὶ οἱ δύο εἶναι μεταβολές. Ἢ δὲν εἶναι αὐτὲς οἱ τρόποι μὲ τοὺς ὁποίους δημιουργεῖται ἡ φωτιά;

ΘΕΑΙ. Αὐτὲς εἶναι.

ΣΩ. Ἀλλὰ καὶ τὰ ζῶα συνολικὰ προκύπτουν ἀπὸ τὶς ἴδιες ἐκεῖνες κινήσεις.

ΘΕΑΙ. Πῶς ἀλλιῶς;

ΣΩ. Καὶ τί; Ἡ εὐεξία τῶν σωμάτων δὲν καταστρέφεται μὲ τὴν ἀκινησία τους καὶ μὲ τὴν ἀπραξία, ἐνῶ μὲ τὴ γυμναστικὴ καὶ τὴν κινητικότητα ὡς ἐπὶ τὸ πλεῖστον περισώζεται;

ΘΕΑΙ. Ναί.

ΣΩ. Καὶ ἡ ψυχὴ δὲν ἀποκτᾶ μαθήσεις, δὲν διατηρεῖται σὲ καλὴ κατάσταση καὶ δὲν γίνεται καλύτερη μὲ τὴν ἐκμάθηση καὶ τὴ μελέτη, ποὺ ἀποτελοῦν μεταβολές, ἐνῶ μὲ τὴν ἀδράνεια, ὅπως εἶναι ἡ νωθρότητα καὶ ἡ ἀμάθεια, δὲν μαθαίνει κάτι ἤ, ἂν τὸ μάθει, τὸ ξεχνάει;

ΘΕΑΙ. Καὶ πολὺ μάλιστα.

ΣΩ. Ὁπότε καὶ γιὰ τὴν ψυχὴ καὶ γιὰ τὸ σῶμα τὸ καλὸ δὲν εἶναι ἡ μεταβολή, ἐνῶ ἡ ἀκινησία τὸ ἀντίθετο;

ΘΕΑΙ. Ἔτσι φαίνεται.

ΣΩ. Χρειάζεται νὰ σοῦ πῶ ἀκόμη γιὰ τὴ νηνεμία, τὴ γαλήνη καὶ γιὰ ὅλα τὰ παρόμοια, ὅτι μὲ τὴν ἀκινησία ἐπέρχεται σήψη καὶ φθορά, ἐνῶ τὰ ἀντίθετα περισώζουν; Καὶ ὡς ἐπιστέγασμα ὅλων αὐτῶν ἐπικαλοῦμαι τὴ «χρυσὴ ἁλυσίδα» ποὺ ἀναφέρει ὁ Ὅμηρος, μὲ τὴν ὁποία δὲν ἐννοεῖ παρὰ τὸν ἥλιο, δηλώνοντας

καὶ δηλοῖ ὅτι ἕως μὲν ἂν ἡ περιφορὰ ᾖ κινουμένη καὶ ὁ ἥλιος, πάντα ἔστι καὶ σῴζεται τὰ ἐν θεοῖς τε καὶ ἀνθρώποις, εἰ δὲ σταίη τοῦτο ὥσπερ δεθέν, πάντα χρήματ' ἂν διαφθαρείη καὶ γένοιτ' ἂν τὸ λεγόμενον ἄνω κάτω πάντα;

ΘΕΑΙ. Ἀλλ' ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ταῦτα δηλοῦν ἅπερ λέγεις.

ΣΩ. Ὑπόλαβε τοίνυν, ὦ ἄριστε, οὑτωσί· κατὰ τὰ ὄμματα πρῶτον, ὃ δὴ καλεῖς χρῶμα λευκόν, μὴ εἶναι αὐτὸ ἕτερόν τι ἔξω τῶν σῶν ὀμμάτων μηδ' ἐν τοῖς ὄμμασι μηδέ τιν' αὐτῷ χώραν ἀποτάξῃς· ἤδη γὰρ ἂν εἴη τε δήπου ἐν τάξει καὶ μένον καὶ οὐκ ἂν ἐν γενέσει γίγνοιτο.

ΘΕΑΙ. Ἀλλὰ πῶς;

ΣΩ. Ἐπώμεθα τῷ ἄρτι λόγῳ, μηδὲν αὐτὸ καθ' αὑτὸ ἓν ὂν τιθέντες· καὶ ἡμῖν οὕτω μέλαν τε καὶ λευκὸν καὶ ὁτιοῦν ἄλλο χρῶμα ἐκ τῆς προσβολῆς τῶν ὀμμάτων πρὸς τὴν προσήκουσαν φορὰν φανεῖται γεγενημένον, καὶ ὃ δὴ ἕκαστον εἶναί φαμεν χρῶμα οὔτε τὸ προσβάλλον οὔτε τὸ προσβαλλόμενον ἔσται, ἀλλὰ μεταξύ τι ἑκάστῳ ἴδιον γεγονός· ἢ σὺ διισχυρίσαιο ἂν ὡς οἷον σοὶ φαίνεται ἕκαστον χρῶμα, τοιοῦτον καὶ κυνὶ καὶ ὁτῳοῦν ζῴῳ;

ΘΕΑΙ. Μὰ Δί' οὐκ ἔγωγε.

ΣΩ. Τί δέ; ἄλλῳ ἀνθρώπῳ ἆρ' ὅμοιον καὶ σοὶ φαίνεται ὁτιοῦν; ἔχεις τοῦτο ἰσχυρῶς, ἢ πολὺ μᾶλλον ὅτι οὐδὲ σοὶ αὐτῷ ταὐτὸν διὰ τὸ μηδέποτε ὁμοίως αὐτὸν σεαυτῷ ἔχειν;

ΘΕΑΙ. Τοῦτο μᾶλλόν μοι δοκεῖ ἢ ἐκεῖνο.

ΣΩ. Οὐκοῦν εἰ μὲν ᾧ παραμετρούμεθα ἢ οὗ ἐφαπτόμεθα μέγα ἢ λευκὸν ἢ θερμὸν ἦν, οὐκ ἄν ποτε ἄλλῳ προσπεσὸν ἄλλο ἂν

e2 δήπου Schanz: ἄν που **c** Stobaeus καὶ μένον Stobaeus: καὶ μένοι W: κείμενοι **β**: κείμενον T

ὅτι ὅσο ὁ ἥλιος καὶ ἡ περιφορὰ τῶν οὐράνιων σωμάτων παραμένει σὲ κίνηση, ὅλα σὲ θεοὺς καὶ ἀνθρώπους ἐξακολουθοῦν νὰ ὑπάρχουν καὶ νὰ διατηροῦνται ἐνῶ, ἂν ἐκείνη σταματήσει σὰν νὰ ἔχει δεθεῖ, τότε ὅλα τὰ πράγματα θὰ καταστραφοῦν καὶ θὰ ἐπέλθει αὐτὸ ποὺ λένε ὅτι τὰ πάντα θὰ γίνουν ἄνω κάτω.

ΘΕΑΙ. Μοῦ φαίνεται, Σωκράτη, πὼς ἡ ἑρμηνεία ποὺ δίνεις εἶναι σωστή.[20]

ΣΩ. Σκέψου λοιπόν, ἔξοχε, ὡς ἐξῆς: πρῶτον, ὅτι ὅσον ἀφορᾶ τὰ μάτια, αὐτὸ τὸ ὁποῖο ἐσὺ ἀποκαλεῖς λευκὸ χρῶμα δὲν εἶναι αὐτὸ καθαυτὸ κάτι ἄλλο ἔξω ἀπὸ τὰ μάτια σου, οὔτε μέσα στὰ μάτια, οὔτε θὰ πρέπει νὰ τὸ τοποθετήσεις σὲ κάποιον δικό του χῶρο· ἀφοῦ ἀλλιῶς θὰ βρισκόταν σὲ ἕνα συγκεκριμένο μέρος καὶ θὰ παρέμενε ἐκεῖ, καὶ δὲν θὰ προέκυπτε ἀπὸ μιὰ διαδικασία γένεσης.

ΘΕΑΙ. Ὁπότε πῶς γίνεται αὐτό;

ΣΩ. Πρέπει νὰ φανοῦμε συνεπεῖς μὲ ὅσα εἴπαμε, καὶ νὰ μὴ θεωρήσουμε ὅτι ὑφίσταται τίποτε ποὺ νὰ εἶναι ἕνα πράγμα αὐτὸ καθαυτό. Ὁπότε ἔτσι, τὸ μαῦρο καὶ τὸ λευκὸ καὶ ὁποιοδήποτε ἄλλο χρῶμα γιὰ ἐμᾶς θὰ προκύπτει ὅτι δημιουργεῖται ἀπὸ τὴ συνάντηση τῆς ὅρασής μας μὲ τὴν ἀντίστοιχη μετακίνηση, καὶ πὼς τὸ καθένα ἀπὸ αὐτὰ ποὺ λέμε χρώματα δὲν εἶναι οὔτε αὐτὸ ποὺ συναντάει οὔτε αὐτὸ ποὺ συναντιέται, ἀλλὰ κάτι ἰδιαίτερο γιὰ τὸν καθένα ποὺ ἀναφαίνεται μεταξὺ αὐτῶν τῶν δύο. Ἢ μήπως ἐσὺ θὰ ἐπιχειροῦσες νὰ ὑποστηρίξεις ὅτι τὸ κάθε χρῶμα σοῦ φαίνεται ἐσένα ἔτσι ὅπως φαίνεται σὲ ἕνα σκυλὶ ἢ σὲ ὁποιοδήποτε ἄλλο ζῶο;

ΘΕΑΙ. Ὄχι ἐγώ, μά τὸν Δία.

ΣΩ. Καὶ τί λοιπόν; Τὸ ὁποιοδήποτε πράγμα ἄραγε φαίνεται ὅμοιο σὲ ἐσένα καὶ σὲ κάποιον ἄλλον ἄνθρωπο; Εἶσαι βέβαιος γι' αὐτό; Ἢ μήπως πολὺ περισσότερο γιὰ τὸ ὅτι οὔτε σὲ ἐσένα τὸν ἴδιο δὲν φαίνεται τὸ ἴδιο, ἐπειδὴ δὲν βρίσκεσαι ποτὲ στὴν ἴδια κατάσταση;

ΘΕΑΙ. Πιστεύω περισσότερο ἐτοῦτο παρὰ τὸ ἄλλο.[21]

ΣΩ. Ἄν, συνεπῶς, τὸ πράγμα μὲ τὸ ὁποῖο πρόκειται νὰ ἀναμετρηθοῦμε ἢ νὰ ἔρθουμε σὲ ἐπαφὴ ἦταν πράγματι μεγάλο,

ἐγεγόνει, αὐτό γε μηδὲν μεταβάλλον· εἰ δὲ αὖ τὸ παραμετρούμενον ἢ ἐφαπτόμενον ἕκαστον ἦν τούτων, οὐκ ἂν αὖ ἄλλου προσελθόντος ἤ τι παθόντος αὐτὸ μηδὲν παθὸν ἄλλο ἂν ἐγένετο. ἐπεὶ νῦν γε, ὦ φίλε, θαυμαστά τε καὶ γελοῖα εὐχερῶς πως ἀναγκαζόμεθα λέγειν, ὡς φαίη ἂν Πρωταγόρας τε καὶ πᾶς ὁ τὰ αὐτὰ ἐκείνῳ ἐπιχειρῶν λέγειν.

ΘΕΑΙ. Πῶς δὴ καὶ ποῖα λέγεις;

ΣΩ. Σμικρὸν λαβὲ παράδειγμα, καὶ πάντα εἴσῃ ἃ βούλομαι. ἀστραγάλους γάρ που ἓξ, ἂν μὲν τέτταρας αὐτοῖς προσενέγκῃς, πλείους φαμὲν εἶναι τῶν τεττάρων καὶ ἡμιολίους, ἐὰν δὲ δώδεκα, ἐλάττους καὶ ἡμίσεις, καὶ οὐδὲ ἀνεκτὸν ἄλλως λέγειν· ἢ σὺ ἀνέξῃ;

ΘΕΑΙ. Οὐκ ἔγωγε.

ΣΩ. Τί οὖν; ἄν σε Πρωταγόρας ἔρηται ἤ τις ἄλλος· "Ὦ Θεαίτητε, ἔσθ' ὅπως τι μεῖζον ἢ πλέον γίγνεται ἄλλως ἢ αὐξηθέν;" τί ἀποκρινῇ;

ΘΕΑΙ. Ἐὰν μέν, ὦ Σώκρατες, τὸ δοκοῦν πρὸς τὴν νῦν ἐρώτησιν ἀποκρίνωμαι, ὅτι οὐκ ἔστιν· ἐὰν δὲ πρὸς τὴν προτέραν, φυλάττων μὴ ἐναντία εἴπω, ὅτι ἔστιν.

ΣΩ. Εὖ γε νὴ τὴν Ἥραν, ὦ φίλε, καὶ θείως. ἀτάρ, ὡς ἔοικεν, ἐὰν ἀποκρίνῃ ὅτι ἔστιν, Εὐριπίδειόν τι συμβήσεται· ἡ μὲν γὰρ γλῶττα ἀνέλεγκτος ἡμῖν ἔσται, ἡ δὲ φρὴν οὐκ ἀνέλεγκτος.

ΘΕΑΙ. Ἀληθῆ.

ΣΩ. Οὐκοῦν εἰ μὲν δεινοὶ καὶ σοφοὶ ἐγώ τε καὶ σὺ ἦμεν, πάντα τὰ τῶν φρενῶν ἐξητακότες, ἤδη ἂν τὸ λοιπὸν ἐκ περιουσίας

λευκὸ ἢ θερμό, δὲν θὰ ἦταν δυνατὸν ἐκεῖνο, ὅταν θὰ συναντιόταν μὲ κάποιον ἄλλο, νὰ γίνει ἄλλο, ἐφόσον τὸ ἴδιο δὲν θὰ ὑφίστατο ὁποιαδήποτε μετατροπή. Ἐπίσης, ἂν τὸ καθένα ἀπὸ αὐτὰ μὲ τὰ ὁποῖα ἀναμετρούμαστε ἢ ἐρχόμαστε σὲ ἐπαφὴ ἦταν πράγματι κάτι τέτοιο, τότε, ἐφόσον τὸ ἴδιο δὲν θὰ πάθαινε τίποτε μὲ τὸ νὰ τὸ πλησιάσει κάτι ἢ ἐπειδὴ ἔχει ὑποστεῖ ἐκεῖνο ὁτιδήποτε, δὲν θὰ μποροῦσε νὰ γίνει ἄλλο. Ὁπότε, φίλε μου, θὰ ἤμασταν ὑποχρεωμένοι νὰ λέμε πράγματα τὰ ὁποῖα ὁ Πρωταγόρας, καὶ ὁποιοσδήποτε ἄλλος ὑποστηρίζει τὰ ἴδια μὲ ἐκεῖνον, θὰ τὰ χαρακτήριζε μὲ εὐκολία ὡς ἀξιοπερίεργα ἢ καὶ γελοῖα.[22]

ΘΕΑΙ. Τί θέλεις νὰ πεῖς, καὶ ποιά πράγματα ἐννοεῖς;

ΣΩ. Πάρε ἕνα μικρὸ παράδειγμα, καὶ ἔτσι θὰ καταλάβεις ὅλα ὅσα θέλω νὰ πῶ. Ἂν ἔχεις ἕξι ἀστραγάλους καὶ τοὺς συγκρίνεις μὲ ἄλλους τέσσερις, τότε θὰ ποῦμε ὅτι εἶναι περισσότεροι ἀπὸ τοὺς τέσσερις καὶ μιάμιση φορὰ παραπάνω, ἐνῶ ἂν τοὺς συγκρίνουμε μὲ δώδεκα, τότε εἶναι λιγότεροι καὶ μισοί, καὶ δὲν ἐπιδέχεται νὰ ποῦμε τίποτε ἄλλο. Ἢ ἐσὺ λὲς ὅτι μποροῦμε;

ΘΕΑΙ. Ὄχι, βέβαια.

ΣΩ. Τί θὰ ἀπαντοῦσες λοιπόν, ἂν σὲ ρωτοῦσε ὁ Πρωταγόρας ἢ κάποιος ἄλλος: «Ἔ, Θεαίτητε, γιὰ νὰ γίνει κάτι μεγαλύτερο ἢ περισσότερο, ὑπάρχει ἄλλος τρόπος ἀπὸ τὸ νὰ αὐξηθεῖ;».

ΘΕΑΙ. Ἐὰν μέν, Σωκράτη, ἀπαντήσω στὴ συγκεκριμένη ἐρώτηση αὐτὸ ποὺ πιστεύω, θὰ πῶ ὅτι δὲν ὑπάρχει. Ἂν ὅμως λάβω ὑπόψη μου τὰ προηγούμενα, καὶ προσέχοντας μὴν περιπέσω σὲ ἀντίφαση, θὰ πῶ ὅτι ὑπάρχει.

ΣΩ. Εὖγε, μά τὴν Ἥρα, φίλε μου, ἀπάντησες θεϊκά! Ἀλλὰ πάλι, καθὼς φαίνεται, ἂν ἀπαντήσεις ὅτι ὑπάρχει, τότε θὰ συμβεῖ αὐτὸ ποὺ λέει ὁ Εὐριπίδης: ἡ γλώσσα σου θὰ παραμένει ἀδιάψευστη, ἀλλὰ ἡ καρδιά σου ὄχι.

ΘΕΑΙ. Ἀλήθεια λές.

ΣΩ. Ὁπότε λοιπόν, ἂν ἐσὺ καὶ ἐγὼ ἤμασταν τίποτα ἐπιτήδειοι καὶ ἔξυπνοι ἄνθρωποι, σὰν αὐτοὺς ποὺ ἐξετάζουν ὅλα τὰ θέματα τῆς καρδιᾶς, ἐνδέχεται στὴ συνέχεια νὰ ἐπιχειρούσαμε

ἀλλήλων ἀποπειρώμενοι, συνελθόντες σοφιστικῶς εἰς μάχην τοιαύτην, ἀλλήλων τοὺς λόγους τοῖς λόγοις ἐκρούομεν· νῦν δὲ ἄτε ἰδιῶται πρῶτον βουλησόμεθα θεάσασθαι αὐτὰ πρὸς αὑτὰ τί ποτ' ἐστὶν ἃ διανοούμεθα, πότερον ἡμῖν ἀλλήλοις συμφωνεῖ ἢ οὐδ' ὁπωστιοῦν.

ΘΕΑΙ. Πάνυ μὲν οὖν ἔγωγε τοῦτ' ἂν βουλοίμην.

ΣΩ. Καὶ μὴν ἐγώ. ὅτε δ' οὕτως ἔχει, ἄλλο τι ἢ ἠρέμα, ὡς πάνυ πολλὴν σχολὴν ἄγοντες, πάλιν ἐπανασκεψόμεθα, οὐ δυσκολαίνοντες ἀλλὰ τῷ ὄντι ἡμᾶς αὐτοὺς ἐξετάζοντες, ἆττα ποτ' ἐστὶ ταῦτα τὰ φάσματα ἐν ἡμῖν; ὧν πρῶτον ἐπισκοποῦντες φήσομεν, ὡς ἐγὼ οἶμαι, μηδέποτε μηδὲν ἂν μεῖζον μηδὲ ἔλαττον γενέσθαι μήτε ὄγκῳ μήτε ἀριθμῷ, ἕως ἴσον εἴη αὐτὸ ἑαυτῷ. οὐχ οὕτως;

ΘΕΑΙ. Ναί.

ΣΩ. Δεύτερον δέ γε, ᾧ μήτε προστιθοῖτο μήτε ἀφαιροῖτο, τοῦτο μήτε αὐξάνεσθαί ποτε μήτε φθίνειν, ἀεὶ δὲ ἴσον εἶναι.

ΘΕΑΙ. Κομιδῇ μὲν οὖν.

ΣΩ. Ἆρ' οὖν οὐ καὶ τρίτον, ὃ μὴ πρότερον ἦν, ὕστερον ἄλλο τοῦτο εἶναι ἄνευ τοῦ γενέσθαι καὶ γίγνεσθαι ἀδύνατον;

ΘΕΑΙ. Δοκεῖ γε δή.

ΣΩ. Ταῦτα δή, οἶομαι, ὁμολογήματα τρία μάχεται αὐτὰ αὑτοῖς ἐν τῇ ἡμετέρᾳ ψυχῇ, ὅταν τὰ περὶ τῶν ἀστραγάλων λέγωμεν, ἢ ὅταν φῶμεν ἐμὲ τηλικόνδε ὄντα, μήτε αὐξηθέντα μήτε τοὐναντίον παθόντα, ἐν ἐνιαυτῷ σοῦ τοῦ νέου νῦν μὲν μείζω εἶναι, ὕστερον δὲ ἐλάττω, μηδὲν τοῦ ἐμοῦ ὄγκου ἀφαιρεθέντος ἀλλὰ σοῦ αὐξηθέντος. εἰμὶ γὰρ δὴ ὕστερον ὃ πρότερον οὐκ ἦ, οὐ γενόμενος· ἄνευ γὰρ τοῦ γίγνεσθαι γενέσθαι ἀδύνατον, μηδὲν

νὰ ἀναμετρηθοῦμε μεταξύ μας ἐμπλεκόμενοι σὲ μιὰ σοφιστικὴ ἀντιπαράθεση τέτοια ὥστε νὰ ἀντικρούσουμε ὁ ἕνας τὰ λόγια τοῦ ἄλλου. Τώρα ὅμως, ἐφόσον εἴμαστε συνηθισμένοι ἄνθρωποι, θὰ θελήσουμε πρῶτα νὰ δοῦμε τί εἶναι ποὺ ἔχουμε στὸν νοῦ μας αὐτὰ καθαυτά, κατὰ πόσον βρίσκονται σὲ συμφωνία μεταξύ τους ἢ ὄχι, οὐδόλως.

ΘΕΑΙ. Θὰ τὸ ἤθελα πολὺ αὐτό.

ΣΩ. Καὶ ἐγὼ τὸ ἴδιο. Ἐφόσον λοιπὸν ἔτσι ἔχουν τὰ πράγματα, τί θὰ ἔλεγες νὰ ἐπανεξετάσουμε καὶ πάλι τὸ ζήτημα μὲ ἠρεμία, σὰν νὰ ἔχουμε πολλὴ ἄνεση χρόνου, χωρὶς νὰ φέρνουμε δυσκολίες, ἀλλὰ ἐξετάζοντας τοὺς ἑαυτούς μας πραγματικά, ποιά εἶναι αὐτὰ τὰ ὁποῖα φανερώνονται μέσα μας; Ἐξετάζοντας τὸ πρῶτο ἀπὸ αὐτά, θὰ ποῦμε, θαρρῶ, ὅτι κάτι δὲν μπορεῖ ποτὲ νὰ γίνει μεγαλύτερο ἢ μικρότερο, εἴτε ὡς πρὸς τὸν ὄγκο του εἴτε στὸν ἀριθμό του, ἐφόσον τοῦτο παραμένει ἴσο μὲ τὸν ἑαυτό του. Ἔτσι δὲν εἶναι;

ΘΕΑΙ. Ναί.

ΣΩ. Καὶ δεύτερον, ὅτι αὐτὸ στὸ ὁποῖο οὔτε προστίθεται οὔτε ἀφαιρεῖται κάτι, τοῦτο οὔτε αὐξάνεται οὔτε μειώνεται, ἀλλὰ εἶναι πάντοτε ἴσο.

ΘΕΑΙ. Ὁπωσδήποτε.

ΣΩ. Ἀλλά, τρίτον, δὲν θὰ ποῦμε ἐπίσης ὅτι αὐτὸ ποὺ προηγουμένως δὲν ἦταν κάτι δὲν εἶναι δυνατὸν νὰ εἶναι τοῦτο ὕστερα, δίχως νὰ ἔχει ὑποστεῖ γένεση καὶ νὰ γίνει;

ΘΕΑΙ. Ἔτσι φαίνεται.

ΣΩ. Ἔλα ὅμως τώρα, ποὺ αὐτὰ τὰ τρία στὰ ὁποῖα συμφωνήσαμε, βρίσκονται σὲ διαμάχη μεταξύ τους μέσα στὴν ψυχή μας, ὅταν ἀρχίσουμε νὰ μιλᾶμε γιὰ τοὺς ἀστραγάλους, ἢ ὅταν λέμε ὅτι ἐγὼ εἶμαι τόσο μεγάλος καὶ ὅτι, χωρὶς οὔτε νὰ αὐξηθῶ οὔτε νὰ ὑποστῶ τὸ ἀντίθετο, μέσα σὲ ἕναν χρόνο ἀπὸ μεγαλύτερος ποὺ εἶμαι ἀπὸ ἐσένα τὸν νέο εἶμαι κατόπιν μικρότερος δίχως νὰ ἔχει ἀφαιρεθεῖ καθόλου ὄγκος ἀπὸ ἐμένα, ἀλλὰ ἐπειδὴ αὐξήθηκες ἐσύ, ὁπότε ὕστερα εἶμαι αὐτὸ ποὺ δὲν ἴσχυε γιὰ ἐμένα προηγουμένως χωρὶς νὰ ἔχω γίνει. Ἀλλὰ εἶναι ἀδύνατον κά-

δὲ ἀπολλὺς τοῦ ὄγκου οὐκ ἄν ποτε ἐγιγνόμην ἐλάττων. καὶ ἄλλα δὴ μυρία ἐπὶ μυρίοις οὕτως ἔχει, εἴπερ καὶ ταῦτα παραδεξόμεθα. ἔπει γάρ που, ὦ Θεαίτητε; δοκεῖς γοῦν μοι οὐκ ἄπειρος τῶν τοιούτων εἶναι.

ΘΕΑΙ. Καὶ νὴ τοὺς θεούς γε, ὦ Σώκρατες, ὑπερφυῶς ὡς θαυμάζω τί ποτ' ἐστὶ ταῦτα, καὶ ἐνίοτε ὡς ἀληθῶς βλέπων εἰς αὐτὰ σκοτοδινιῶ.

d ΣΩ. Θεόδωρος γὰρ ὅδε, ὦ φίλε, φαίνεται οὐ κακῶς τοπάζειν περὶ τῆς φύσεώς σου. μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν· οὐ γὰρ ἄλλη ἀρχὴ φιλοσοφίας ἢ αὕτη, καὶ ἔοικεν ὁ τὴν Ἶριν Θαύμαντος ἔκγονον φήσας οὐ κακῶς γενεαλογεῖν. ἀλλὰ πότερον μανθάνεις ἤδη δι' ὃ ταῦτα τοιαῦτ' ἐστὶν ἐξ ὧν τὸν Πρωταγόραν φαμὲν λέγειν, ἢ οὔπω;

ΘΕΑΙ. Οὔπω μοι δοκῶ.

ΣΩ. Χάριν οὖν μοι εἴσῃ ἐάν σοι ἀνδρός, μᾶλλον δὲ ἀνδρῶν ὀνομαστῶν τῆς διανοίας τὴν ἀλήθειαν ἀποκεκρυμμένην συνe εξερευνήσωμαι αὐτῶν;

ΘΕΑΙ. Πῶς γὰρ οὐκ εἴσομαι, καὶ πάνυ γε πολλήν;

ΣΩ. Ἄθρει δὴ περισκοπῶν μή τις τῶν ἀμυήτων ἐπακούῃ. εἰσὶν δὲ οὗτοι οἱ οὐδὲν ἄλλο οἰόμενοι εἶναι ἢ οὗ ἂν δύνωνται ἁπρὶξ τοῖν χεροῖν λαβέσθαι, πράξεις δὲ καὶ γενέσεις καὶ πᾶν τὸ ἀόρατον οὐκ ἀποδεχόμενοι ὡς ἐν οὐσίας μέρει.

ΘΕΑΙ. Καὶ μὲν δή, ὦ Σώκρατες, σκληρούς γε λέγεις καὶ 156 ἀντιτύπους ἀνθρώπους.

ΣΩ. Εἰσὶν γάρ, ὦ παῖ, μάλ' εὖ ἄμουσοι· ἄλλοι δὲ πολὺ κομψότεροι, ὧν μέλλω σοι τὰ μυστήρια λέγειν. ἀρχὴ δέ, ἐξ ἧς καὶ ἃ νυνδὴ ἐλέγομεν πάντα ἤρτηται, ἥδε αὐτῶν, ὡς τὸ πᾶν κίνη-

c5 ἔπει Heindorf: ἔπῃ Burnet: εἰπὲ **c** Narcy ὦ Θεαίτητε; interpunxi: ὦ Θεαίτητε· Burnet, Hicken d1 γὰρ ὅδε W Hicken: γὰρ **β**T Burnet a2 ἄλλοι δὲ Burnet: ἄλλοι δὲ **c** Hicken

ποιος νὰ ἔχει γίνει δίχως νὰ ὑπόκειται σὲ γίγνεσθαι. Καὶ θὰ ἦταν ἀδύνατον νὰ ἔχω γίνει μικρότερος χωρὶς νὰ ἔχω χάσει κάτι ἀπὸ τὸν ὄγκο μου. Ἀλλὰ ἐπίσης, ἂν τὰ παραδεχτοῦμε ἐκεῖνα, προκύπτουν χίλια δυὸ ἄλλα τέτοια καὶ ἄλλα τόσα. Μὲ παρακολουθεῖς, Θεαίτητε; Διότι θαρρῶ ὅτι κάτι ξέρεις ἀπὸ τέτοια.

ΘΕΑΙ. Ναί, μά τοὺς θεούς, Σωκράτη. Καὶ μένω κατάπληκτος μὲ ἐκεῖνα, ἐνῶ μερικὲς φορὲς ἐντυφώντας σὲ αὐτὰ μὲ πιάνει σκοτοδίνη.[23]

ΣΩ. Εἶναι φανερὸ λοιπόν, φίλε μου, ὅτι τοῦτος ἐδῶ ὁ Θεόδωρος δὲν ἔκανε λάθος ἐκτίμηση ὅσον ἀφορᾶ τὴ φύση σου. Διότι αὐτὸ ποὺ σοῦ συμβαίνει, τὸ ὅτι νιώθεις κατάπληξη, εἶναι χαρακτηριστικὸ τοῦ φιλοσόφου. Ἀφοῦ αὐτὸ καὶ μόνο εἶναι ἡ ἀπαρχὴ τῆς φιλοσοφίας. Καὶ φαίνεται ὅτι ἐκεῖνος ποὺ ἔκανε τὴν Ἴριδα ἀπόγονη τοῦ Θαύμαντος ἦταν καλὸς στὴ γενεαλογία.[24] Ἀρχίζεις λοιπὸν νὰ καταλαβαίνεις γιὰ ποιόν λόγο προκύπτουν ὅλα αὐτὰ ἀπὸ τὴ θεωρία ποὺ ἀποδώσαμε στὸν Πρωταγόρα, ἢ ὄχι ἀκόμα;

ΘΕΑΙ. Δὲν νομίζω, ἀκόμα.

ΣΩ. Δὲν θὰ μοῦ χρωστᾶς χάρη, ἑπομένως, ἂν ἐξερευνήσω μαζί σου τὴν ἀλήθεια ποὺ βρίσκεται κρυμμένη στὰ διανοήματα ἑνὸς ἄνδρα, ἢ μᾶλλον πολλῶν καὶ ὀνομαστῶν ἀνδρῶν;

ΘΕΑΙ. Καὶ βέβαια θὰ σοῦ χρωστῶ, καὶ πολὺ μεγάλη μάλιστα.

ΣΩ. Κοίταξε λοιπὸν τριγύρω μήπως μᾶς ἀκούει κανεὶς ἀπὸ τοὺς ἀμύητους. Διότι ὑπάρχουν κάποιοι οἱ ὁποῖοι θεωροῦν πὼς δὲν ὑπάρχει τίποτε ἄλλο, παρὰ μόνον ὅ,τι μποροῦν νὰ ἁδράξουν σφιχτὰ μὲ τὰ χέρια τους, καὶ δὲν παραδέχονται ὡς μέρη τῆς πραγματικότητας τὶς πράξεις, τὶς γενέσεις καὶ ὁτιδήποτε τὸ ἀόρατο.

ΘΕΑΙ. Μιλᾶς, Σωκράτη, γιὰ ἀνθρώπους ξεροκέφαλους καὶ πεισματάρηδες.

ΣΩ. Εἶναι πράγματι, ἀγόρι μου, ἐξαιρετικὰ ἀκαλλιέργητοι.[25] Ἀλλὰ εἶναι καὶ οἱ ἄλλοι, πολὺ πιὸ ἐπιδέξιοι, τῶν ὁποίων θὰ σοῦ ἀποκαλύψω τὰ μυστικά. Ἡ ἀφετηρία τους, ἀπὸ τὴν ὁποία ἐξαρτῶνται ὅλα ὅσα ἀναφέραμε, εἶναι ἡ ἑξῆς: ὅτι τὰ πάντα εἶ-

σις ἦν καὶ ἄλλο παρὰ τοῦτο οὐδέν, τῆς δὲ κινήσεως δύο εἴδη, πλήθει μὲν ἄπειρον ἑκάτερον, δύναμιν δὲ τὸ μὲν ποιεῖν ἔχον, τὸ δὲ πάσχειν. ἐκ δὲ τῆς τούτων ὁμιλίας τε καὶ τρίψεως πρὸς ἄλληλα γίγνεται ἔκγονα πλήθει μὲν ἄπειρα, δίδυμα δέ, τὸ μὲν αἰσθητόν, τὸ δὲ αἴσθησις, ἀεὶ συνεκπίπτουσα καὶ γεννωμένη μετὰ τοῦ αἰσθητοῦ. αἱ μὲν οὖν αἰσθήσεις τὰ τοιάδε ἡμῖν ἔχουσιν ὀνόματα, ὄψεις τε καὶ ἀκοαὶ καὶ ὀσφρήσεις καὶ ψύξεις τε καὶ καύσεις καὶ ἡδοναί γε δὴ καὶ λῦπαι καὶ ἐπιθυμίαι καὶ φόβοι κεκλημέναι καὶ ἄλλαι, ἀπέραντοι μὲν αἱ ἀνώνυμοι, πλημμεληθεῖς δὲ αἱ ὠνομασμέναι· τὸ δ' αὖ αἰσθητὸν γένος τούτων ἑκάσταις ὁμόγονον, ὄψεσι μὲν χρώματα παντοδαπαῖς παντοδαπά, ἀκοαῖς δὲ ὡσαύτως φωναί, καὶ ταῖς ἄλλαις αἰσθήσεσι τὰ ἄλλα αἰσθητὰ συγγενῆ γιγνόμενα. τί δὴ οὖν ἡμῖν βούλεται οὗτος ὁ μῦθος, ὦ Θεαίτητε, πρὸς τὰ πρότερα; ἆρα ἐννοεῖς;

ΘΕΑΙ. Οὐ πάνυ, ὦ Σώκρατες.

ΣΩ. Ἀλλ' ἄθρει ἐάν πως ἀποτελεσθῇ. βούλεται γὰρ δὴ λέγειν ὡς ταῦτα πάντα μὲν ὥσπερ λέγομεν κινεῖται, τάχος δὲ καὶ βραδυτὴς ἔνι τῇ κινήσει αὐτῶν. ὅσον μὲν οὖν βραδύ, ἐν τῷ αὐτῷ καὶ πρὸς τὰ πλησιάζοντα τὴν κίνησιν ἴσχει καὶ οὕτω δὴ γεννᾷ, τὰ δὲ γεννώμενα [οὕτω δὴ] θάττω ἐστίν. φέρεται γὰρ καὶ ἐν φορᾷ αὐτῶν ἡ κίνησις πέφυκεν. ἐπειδὰν οὖν ὄμμα καὶ ἄλλο τι τῶν τούτῳ συμμέτρων πλησιάσαν γεννήσῃ τὴν λευκότητά τε καὶ αἴσθησιν αὐτῇ σύμφυτον, ἃ οὐκ ἄν ποτε ἐγένετο ἑκατέρου ἐκείνων πρὸς ἄλλο ἐλθόντος, τότε δὴ μεταξὺ φερομένων τῆς μὲν ὄψεως πρὸς τῶν ὀφθαλμῶν, τῆς δὲ λευκότητος πρὸς τοῦ

d1 post γεννώμενα <ἑτέραν τὴν κίνησιν κινούμενα> supplevit e.g. Hicken
[ ] Peipers: ten. Burnet, Hicken

ναι μεταβολὴ καὶ δὲν ὑπάρχει τίποτε ἄλλο ἐκτὸς ἀπὸ αὐτήν. Καὶ ὅτι ὑπάρχουν δύο εἴδη μεταβολῆς, καθένα ἀπὸ τὰ ὁποῖα εἶναι ἄπειρο κατὰ τὸ πλῆθος: τὸ ἕνα ἀπὸ αὐτὰ ἔχει τὴ δυνατότητα νὰ ἐνεργεῖ, καὶ τὸ ἄλλο νὰ πάσχει. Καὶ ἀπὸ τὴ συνεύρεση καὶ τὴν τριβὴ μεταξύ τους προκύπτουν γεννήματα ἄπειρα κατὰ τὸ πλῆθος ἀλλὰ δίδυμα: ἀφ' ἑνὸς τὸ αἰσθητὸ καὶ ἀφ' ἑτέρου τὸ αἰσθητηριακὸ ἐνέργημα, τὸ ὁποῖο προκύπτει καὶ γεννιέται κάθε φορὰ μαζὶ μὲ τὸ αἰσθητό. Τὰ αἰσθητηριακὰ ἐνεργήματα, λοιπόν, παίρνουν ἀπὸ ἐμᾶς τὶς ἑξῆς ὀνομασίες: 'ὁράσεις', 'ἀκούσματα', 'ὀσφρήσεις', 'ψύξεις' καὶ 'καψίματα', καθὼς ἐπίσης ἐκεῖνα ποὺ ἀποκαλοῦνται 'ἀπολαύσεις' καὶ 'στενοχώριες', 'ἐπιθυμίες', 'φόβοι', ἀλλὰ καὶ ἄλλα ἀμέτρητα καὶ ἀνώνυμα, ἀπὸ τὰ ὁποῖα ὅσα ἔχουν ὀνομασία εἶναι ἤδη πάρα πολλά. Καὶ ἀπὸ τὴν κατηγορία τῶν αἰσθητῶν, πάλι, καθένα γεννιέται μαζὶ μὲ καθένα ἀπὸ ἐκεῖνα: τὰ κάθε λογῆς χρώματα μὲ τὶς κάθε λογῆς ὁράσεις, καὶ τὸ ἴδιο οἱ ἦχοι μὲ τὰ ἀκούσματα, καθὼς ἐπίσης τὰ ὑπόλοιπα αἰσθητά, τὰ ὁποῖα γεννιοῦνται μαζὶ μὲ τὶς ὑπόλοιπες αἰσθήσεις.[26] Τί μᾶς λέει, τώρα, αὐτὴ ἡ ἱστορία ὅσον ἀφορᾶ τὰ προηγούμενα; Τὸ καταλαβαίνεις;

ΘΕΑΙ. Ὄχι ἐντελῶς, Σωκράτη.

ΣΩ. Κοίταξε λοιπὸν γιὰ νὰ τὴν ὁλοκληρώσουμε. Διότι αὐτὰ ποὺ θέλει νὰ πεῖ εἶναι, ὅπως εἴπαμε, πὼς ὅλα τοῦτα ἀποτελοῦν μεταβολές, καὶ ὅτι στὶς μεταβολὲς αὐτὲς ὑπάρχει ταχύτητα καὶ βραδύτητα. Καὶ ὅσα ἀπὸ αὐτὰ μεταβάλλονται μὲ βραδύτητα ἔχουν τὴν ἀντίστοιχη μεταβολὴ νὰ παραμένει στὸν ἴδιο τόπο ὡς πρὸς ἐκεῖνα τὰ ὁποῖα τὰ προσεγγίζουν, καὶ μὲ αὐτὸν τὸν τρόπο γεννοῦν, ἐνῶ ἐκεῖνα ποὺ γεννιοῦνται εἶναι ταχύτερα. Διότι μετακινοῦνται, καὶ ἡ φυσική τους μεταβολὴ εἶναι ἡ μετακίνηση. Ὅταν λοιπὸν τὸ μάτι καὶ κάτι ἄλλο ἀπὸ τὰ συμμετρικὰ πρὸς αὐτὸ πλησιάσουν καὶ γεννήσουν τὴ λευκότητα, καθὼς καὶ τὸ σύμφυτο μὲ αὐτὴν αἰσθητηριακὸ ἐνέργημα —ποὺ δὲν θὰ συνέβαινε, ἂν τὸ καθένα τους εἶχε συναντηθεῖ μὲ ὁτιδήποτε ἄλλο—, τότε λοιπόν, καθὼς ἡ ὅραση ἀπὸ τὴν πλευρὰ τῶν ὀφθαλμῶν καὶ ἡ λευκότητα ἀπὸ τὴν πλευρὰ ἐκείνου ποὺ

συναποτίκτοντος τὸ χρῶμα, ὁ μὲν ὀφθαλμὸς ἄρα ὄψεως ἔμπλεως ἐγένετο καὶ ὁρᾷ δὴ τότε καὶ ἐγένετο οὔ τι ὄψις ἀλλ' ὀφθαλμὸς ὁρῶν, τὸ δὲ συγγεννῆσαν τὸ χρῶμα λευκότητος περιεπλήσθη καὶ ἐγένετο οὐ λευκότης αὖ ἀλλὰ λευκόν, εἴτε ξύλον εἴτε λίθος εἴτε ὁτιοῦν συνέβη χρῆμα χρωσθῆναι τῷ τοιούτῳ χρώματι. καὶ τἆλλα δὴ οὕτω, σκληρὸν καὶ θερμὸν καὶ πάντα, τὸν αὐτὸν τρόπον ὑποληπτέον, αὐτὸ μὲν καθ' αὑτὸ μηδὲν εἶναι,
157 ὃ δὴ καὶ τότε ἐλέγομεν, ἐν δὲ τῇ πρὸς ἄλληλα ὁμιλίᾳ πάντα γίγνεσθαι καὶ παντοῖα ἀπὸ τῆς κινήσεως, ἐπεὶ καὶ τὸ ποιοῦν εἶναί τι καὶ τὸ πάσχον αὐτῶν ἐπὶ ἑνὸς νοῆσαι, ὡς φασιν, οὐκ εἶναι παγίως. οὔτε γὰρ ποιοῦν ἐστί τι πρὶν ἂν τῷ πάσχοντι συνέλθῃ, οὔτε πάσχον πρὶν ἂν τῷ ποιοῦντι· τό τέ τινι συνελθὸν καὶ ποιοῦν ἄλλῳ αὖ προσπεσὸν πάσχον ἀνεφάνη. ὥστε ἐξ ἁπάντων τούτων, ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, οὐδὲν εἶναι ἓν αὐτὸ καθ' αὑτό,
b ἀλλά τινι ἀεὶ γίγνεσθαι, τὸ δ' εἶναι πανταχόθεν ἐξαιρετέον, οὐχ ὅτι ἡμεῖς πολλὰ καὶ ἄρτι ἠναγκάσμεθα ὑπὸ συνηθείας καὶ ἀνεπιστημοσύνης χρῆσθαι αὐτῷ. τὸ δ' οὐ δεῖ, ὡς ὁ τῶν σοφῶν λόγος, οὔτε τι συγχωρεῖν οὔτε του οὔτ' ἐμοῦ οὔτε τόδε οὔτ' ἐκεῖνο οὔτε ἄλλο οὐδὲν ὄνομα ὅτι ἂν ἱστῇ, ἀλλὰ κατὰ φύσιν φθέγγεσθαι γιγνόμενα καὶ ποιούμενα καὶ ἀπολλύμενα καὶ ἀλλοιούμενα· ὡς ἐάν τί τις στήσῃ τῷ λόγῳ, εὐέλεγκτος ὁ τοῦτο ποιῶν.

e6 ὁτιοῦν Par.E^{ec}: ὅτου οὖν **c**: ὁτῳοῦν Campbell, Burnet χρῆμα Par.E^{ec}: χρῶμα **c**

γεννάει μαζί της τὸ χρῶμα συναντιοῦνται στὸ ἐνδιάμεσο, ὁ μὲν ὀφθαλμὸς βλέπει καὶ γεμίζει ἀπὸ ὅραση, ὁπότε γίνεται ὄχι κάποια συγκεκριμένη ὅραση, ἀλλὰ ὀφθαλμὸς ποὺ βλέπει, ἐνῶ ἐκεῖνο τὸ ὁποῖο ἔχει γεννήσει ἀπὸ κοινοῦ μαζί της τὸ χρῶμα διαποτίζεται ἀπὸ τὴ λευκότητα καὶ γίνεται ὄχι λευκότητα ἀλλὰ λευκό, εἴτε πρόκειται γιὰ ξύλο, εἴτε γιὰ πέτρα, εἴτε γιὰ ὁποιοδήποτε ἄλλο πράγμα συμβαίνει νὰ εἶναι χρωματισμένο μὲ αὐτοῦ τοῦ εἴδους τὸ χρῶμα. Καὶ ἔτσι θὰ πρέπει νὰ σκεφθοῦμε καὶ γιὰ τὰ ὑπόλοιπα, γιὰ τὸ 'σκληρό', τὸ 'θερμὸ' καὶ γιὰ ὅλα τὰ ἄλλα: ὅτι καθένα τους δὲν εἶναι τίποτε καθαυτό —κάτι ποὺ τὸ εἴπαμε καὶ προηγουμένως—, ὅτι ὅλα τους γίνονται ἀπὸ τὴ συνεύρεση μεταξύ τους καὶ εἶναι κάθε λογῆς ἐξαιτίας τῆς μεταβολῆς στὴν ὁποία ὑπόκεινται, ἐφόσον, ὅπως λένε, εἶναι ἀδύνατον νὰ ὑπάρξει κάτι «παγιωμένο», τὸ ὁποῖο νὰ μπορεῖ νὰ νοηθεῖ ὡς ἕνα, εἴτε σὲ αὐτὸ ποὺ ἐνεργεῖ εἴτε σὲ ἐκεῖνο ἀπὸ αὐτὰ τὸ ὁποῖο πάσχει. Διότι οὔτε ἐκεῖνο ποὺ ἐνεργεῖ εἶναι κάτι συγκεκριμένο πρὶν νὰ συναντηθεῖ μὲ αὐτὸ τὸ ὁποῖο πάσχει, οὔτε αὐτὸ ποὺ πάσχει πρὶν νὰ συναντηθεῖ μὲ ἐκεῖνο ποὺ ἐνεργεῖ. Καὶ ἐπίσης, αὐτὸ ποὺ πρόκειται νὰ συναντηθεῖ καὶ νὰ ἐνεργήσει, ὅταν πέσει πάνω σὲ κάτι ἄλλο ἐμφανίζεται νὰ πάσχει. Ὁπότε, ὅπως εἴπαμε ἐξ ἀρχῆς, κανένα ἀπὸ ὅλα αὐτὰ δὲν εἶναι ἕνα πράγμα αὐτὸ καθαυτό, ἀλλὰ ἐπισυμβαίνει πάντοτε σὲ κάτι ἄλλο, καὶ ἑπομένως θὰ πρέπει νὰ ἀποκλείσουμε τὸ «εἶναι» ἀπὸ τὰ πάντα, ἔστω καὶ ἂν εἴμαστε ὑποχρεωμένοι ἐξαιτίας τῆς συνήθειας καὶ τοῦ μὴ ἐπιμελημένου τρόπου διατύπωσης πολλὲς φορὲς νὰ μεταχειριστοῦμε αὐτὸν τὸν ὅρο. Ὅμως, ὅπως λέει ἡ θεωρία αὐτὴ τῶν σοφῶν, δὲν θὰ ἔπρεπε νὰ τὸν χρησιμοποιοῦμε γιὰ τίποτε, οὔτε κἂν γιὰ ἐμένα, καὶ οὔτε νὰ λέμε «τοῦτο» ἢ «ἐκεῖνο», οὔτε νὰ μεταχειριζόμαστε ὁποιαδήποτε ἄλλη ὀνομασία ποὺ νὰ δηλώνει κάτι στατικό, ἀλλὰ νὰ μιλοῦμε σύμφωνα μὲ τὴ φύση τῶν πραγμάτων γιὰ ὅσα «γίνονται» καὶ «δημιουργοῦνται» ἢ «χάνονται» καὶ «ἀλλοιώνονται». Ἀφοῦ, ἂν κάποιος χρησιμοποιήσει ἐκφράσεις ποὺ δηλώνουν στατικότητα, θὰ εἶναι εὔκολο νὰ ἀνασκευαστεῖ. Θὰ πρέπει ἑπομένως ἔτσι νὰ μιλάει

δεῖ δὲ καὶ κατὰ μέρος οὕτω λέγειν καὶ περὶ πολλῶν ἀθροισθέν-
c των, ᾧ δὴ ἀθροίσματι ἄνθρωπόν τε τίθενται καὶ λίθον καὶ ἕκα-
στον ζῷόν τε καὶ εἶδος. ταῦτα δή, ὦ Θεαίτητε, ἆρ' ἡδέα δοκεῖ
σοι εἶναι, καὶ γεύοιο ἂν αὐτῶν ὡς ἀρεσκόντων;

ΘΕΑΙ. Οὐκ οἶδα ἔγωγε, ὦ Σώκρατες· καὶ γὰρ οὐδὲ περὶ σοῦ
5 δύναμαι κατανοῆσαι πότερα δοκοῦντά σοι λέγεις αὐτὰ ἢ ἐμοῦ
ἀποπειρᾷ.

ΣΩ. Οὐ μνημονεύεις, ὦ φίλε, ὅτι ἐγὼ μὲν οὔτ' οἶδα οὔτε ποι-
οῦμαι τῶν τοιούτων οὐδὲν ἐμόν, ἀλλ' εἰμὶ αὐτῶν ἄγονος, σὲ δὲ
d μαιεύομαι καὶ τούτου ἕνεκα ἐπάδω τε καὶ παρατίθημι ἑκάστων
τῶν σοφῶν ἀπογεύσασθαι, ἕως ἂν εἰς φῶς τὸ σὸν δόγμα συν-
εξαγάγω· ἐξαχθέντος δὲ τότ' ἤδη σκέψομαι εἴτ' ἀνεμιαῖον εἴτε
γόνιμον ἀναφανήσεται. ἀλλὰ θαρρῶν καὶ καρτερῶν εὖ καὶ
5 ἀνδρείως ἀποκρίνου ἃ ἂν φαίνηταί σοι περὶ ὧν ἂν ἐρωτῶ.

ΘΕΑΙ. Ἐρώτα δή.

ΣΩ. Λέγε τοίνυν πάλιν εἴ σοι ἀρέσκει τὸ μή τι εἶναι ἀλλὰ γί-
γνεσθαι ἀεὶ ἀγαθὸν καὶ καλὸν καὶ πάντα ἃ ἄρτι διῆμεν.

ΘΕΑΙ. Ἀλλ' ἔμοιγε, ἐπειδὴ σοῦ ἀκούω οὕτω διεξιόντος, θαυ-
10 μασίως φαίνεται ὡς ἔχειν λόγον καὶ ὑποληπτέον ᾗπερ διελή-
λυθας.

e ΣΩ. Μὴ τοίνυν ἀπολίπωμεν ὅσον ἐλλεῖπον αὐτοῦ. λείπεται
δὲ ἐνυπνίων τε πέρι καὶ νόσων τῶν τε ἄλλων καὶ μανίας, ὅσα τε
παρακούειν ἢ παρορᾶν ἤ τι ἄλλο παραισθάνεσθαι λέγεται.
οἶσθα γάρ που ὅτι ἐν πᾶσι τούτοις ὁμολογουμένως ἐλέγχεσθαι
5 δοκεῖ ὃν ἄρτι διῆμεν λόγον, ὡς παντὸς μᾶλλον ἡμῖν ψευδεῖς
158 αἰσθήσεις ἐν αὐτοῖς γιγνομένας, καὶ πολλοῦ δεῖ τὰ φαινόμενα

κανεὶς σὲ κάθε περίπτωση καὶ νὰ ἀναφέρεται σὲ πολλὰ ποὺ ἔ-
χουν συναθροιστεῖ, ὁπότε λοιπὸν κάθε τέτοιο ἄθροισμα οἱ ἄλλοι
τὸ ἀποκαλοῦν εἴτε «ἄνθρωπο» εἴτε «πέτρα» εἴτε τὸ τάδε ζῶο
ἢ εἶδος ζώου. Ὅλα αὐτὰ λοιπόν, Θεαίτητε, σοῦ ἀκούγονται εὐ-
χάριστα καὶ εἶναι τοῦ γούστου σου;[27]

ΘΕΑΙ. Δὲν ξέρω, Σωκράτη. Ἀλλὰ καὶ ὅσον ἀφορᾶ ἐσένα δὲν
μπορῶ νὰ καταλάβω ἂν τὰ λὲς αὐτὰ ἐπειδὴ τὰ πιστεύεις, ἢ γιὰ
νὰ μὲ ὑποβάλεις σὲ δοκιμασία.

ΣΩ. Δὲν θυμᾶσαι, φίλε μου, ὅτι ἐγὼ δὲν ξέρω οὔτε ἐνστερ-
νίζομαι τίποτα τέτοιο, ἀλλὰ εἶμαι ἄγονος ὡς πρὸς αὐτά; Ὅτι
ἐκμαιεύω ἐσένα, καὶ γι' αὐτὸν τὸν λόγο ψάλλω ἐπωδὲς καὶ σοῦ
προσφέρω νὰ γευθεῖς τὶς ἀπόψεις τοῦ καθενὸς ἀπὸ τοὺς σοφούς,
ὡσότου νὰ φέρω μαζί σου στὸ φῶς αὐτὸ ποὺ εἶναι τὸ δικό σου
«πιστεύω»; Καὶ ἀφοῦ γίνει αὐτό, τότε θὰ τὸ ἐξετάσω γιὰ νὰ
δῶ ἂν θὰ φανεῖ ὅτι εἶναι εἴτε ἀνεμογκάστρι εἴτε κάτι γόνιμο.
Ἐσὺ λοιπὸν ἔχε θάρρος καὶ ὑπομονή, καὶ δίνε σωστὲς καὶ γεν-
ναῖες ἀπαντήσεις ὅσον ἀφορᾶ αὐτὰ ποὺ πιστεύεις σὲ ὅ,τι σὲ
ρωτῶ.

ΘΕΑΙ. Ρώτα, λοιπόν.

ΣΩ. Πές μου ἐπομένως καὶ πάλι ἂν ἀποδέχεσαι ὅτι τίποτα
δὲν εἶναι, ἀλλὰ ὅτι κάθε φορὰ γίνεται εἴτε καλὸ εἴτε ἐξαίσιο εἴτε
ὁτιδήποτε ἄλλο ἀπ' ὅσα ἀναφέραμε.

ΘΕΑΙ. Μὰ ναί, ὅταν σὲ ἀκούω νὰ τὸ περιγράφεις ἔτσι. Ὥστε
μοῦ φαίνεται ὅτι ἡ θεωρία αὐτὴ εἶναι ἀξιοθαύμαστη, καὶ ὅτι θὰ
πρέπει νὰ τὴν δεχτοῦμε ἔτσι ὅπως τὴν παρουσίασες.[28]

ΣΩ. Ἂς μὴν παραλείψουμε, συνεπῶς, ὅ,τι ἀπομένει ἀπὸ αὐ-
τήν. Ἀπομένει νὰ μιλήσουμε γιὰ τὰ ὄνειρα καὶ γιὰ τὰ νοσήμα-
τα, γιὰ τὰ ὑπόλοιπα ἀλλὰ καὶ γιὰ τὴν παραφροσύνη, ὅ,τι λέγεται
ὅσον ἀφορᾶ τὸ νὰ παρακούει κάποιος καὶ τὸ νὰ βλέπει ἢ νὰ ἔχει
ἄλλες παραισθήσεις. Διότι ξέρεις βέβαια πώς, κατὰ γενικὴ πα-
ραδοχή, σὲ ὅλες αὐτὲς τὶς περιπτώσεις ἡ θεωρία τὴν ὁποία μό-
λις παρουσιάσαμε φαίνεται νὰ διαψεύδεται, δεδομένου ὅτι σὲ
αὐτὲς ἀσφαλῶς ἔχουμε νὰ κάνουμε μὲ ψευδεῖς αἰσθητηριακὲς
ἀντιλήψεις, καὶ ὅτι συμβαίνει τὰ πράγματα νὰ εἶναι κάθε ἄλλο

ἑκάστῳ ταῦτα καὶ εἶναι, ἀλλὰ πᾶν τοὐναντίον οὐδὲν ὧν φαίνεται εἶναι.

ΘΕΑΙ. Ἀληθέστατα λέγεις, ὦ Σώκρατες.

ΣΩ. Τίς δὴ οὖν, ὦ παῖ, λείπεται λόγος τῷ τὴν αἴσθησιν ἐπιστήμην τιθεμένῳ καὶ τὰ φαινόμενα ἑκάστῳ ταῦτα καὶ εἶναι τούτῳ ᾧ φαίνεται;

ΘΕΑΙ. Ἐγὼ μέν, ὦ Σώκρατες, οἰκνῶ εἰπεῖν ὅτι οὐκ ἔχω τί λέγω, διότι μοι νυνδὴ ἐπέπληξας εἰπόντι αὐτό. ἐπεὶ ὡς ἀληθῶς γε οὐκ ἂν δυναίμην ἀμφισβητῆσαι ὡς οἱ μαινόμενοι ἢ οἱ ὀνειρώττοντες οὐ ψευδῆ δοξάζουσιν, ὅταν οἱ μὲν θεοὶ αὐτῶν οἴωνται εἶναι, οἱ δὲ πτηνοί τε καὶ ὡς πετόμενοι ἐν τῷ ὕπνῳ διανοῶνται.

ΣΩ. Ἆρ' οὖν οὐδὲ τὸ τοιόνδε ἀμφισβήτημα ἐννοεῖς περὶ αὐτῶν, μάλιστα δὲ περὶ τοῦ ὄναρ τε καὶ ὕπαρ;

ΘΕΑΙ. Τὸ ποῖον;

ΣΩ. Ὃ πολλάκις σε οἶμαι ἀκηκοέναι ἐρωτώντων, τί ἄν τις ἔχοι τεκμήριον ἀποδεῖξαι, εἴ τις ἔροιτο νῦν οὕτως ἐν τῷ παρόντι πότερον καθεύδομεν καὶ πάντα ἃ διανοούμεθα ὀνειρώττομεν, ἢ ἐγρηγόραμέν τε καὶ ὕπαρ ἀλλήλοις διαλεγόμεθα.

ΘΕΑΙ. Καὶ μήν, ὦ Σώκρατες, ἄπορόν γε ὅτῳ χρὴ ἐπιδεῖξαι τεκμηρίῳ· πάντα γὰρ ὥσπερ ἀντίστροφα τὰ αὐτὰ παρακολουθεῖ. ἅ τε γὰρ νυνὶ διειλέγμεθα οὐδὲν κωλύει καὶ ἐν [τῷ] ὕπνῳ δοκεῖν ἀλλήλοις διαλέγεσθαι· καὶ ὅταν δὴ ὄναρ ὀνείρατα δοκῶμεν διηγεῖσθαι, ἄτοπος ἡ ὁμοιότης τούτων ἐκείνοις.

ΣΩ. Ὁρᾷς οὖν ὅτι τό γε ἀμφισβητῆσαι οὐ χαλεπόν, ὅτε καὶ πότερόν ἐστιν ὕπαρ ἢ ὄναρ ἀμφισβητεῖται, καὶ δὴ ἴσου ὄντος τοῦ χρόνου ὃν καθεύδομεν ᾧ ἐγρηγόραμεν, ἐν ἑκατέρῳ διαμάχεται ἡμῶν ἡ ψυχὴ τὰ ἀεὶ παρόντα δόγματα παντὸς μᾶλλον

b1-2 οἱ ὀνειρώττοντες **β**: ὀνειρώττοντες TW Hicken: [οἱ] ὀνειρώττοντες Burnet c5 [ ] Hirschig

ἀπὸ ἔτσι ὅπως φαίνονται στὸν καθένα, ἀλλὰ ἀντιθέτως τίποτε ἀπ' ὅσα φαίνονται νὰ μὴν ἰσχύει.

ΘΕΑΙ. Ἀλήθεια λές, Σωκράτη.

ΣΩ. Τί ἀπομένει, λοιπόν, ἀπὸ τὴ θεωρία ποὺ δέχεται ὅτι ἡ γνώση εἶναι ἡ αἴσθηση, καὶ ὅτι ὅσα φαίνονται στὸν καθένα, αὐτὰ καὶ ἰσχύουν γιὰ ἐκεῖνον στὸν ὁποῖο φαίνονται;

ΘΕΑΙ. Ἐγώ, Σωκράτη, διστάζω νὰ πῶ ὅτι δὲν ἔχω ἀπάντηση, ἐπειδὴ προηγουμένως μὲ ἐπέπληξες ὅταν τὸ εἶπα αὐτό. Ὡστόσο, ἀλήθεια, δὲν θὰ μποροῦσα νὰ ἀμφισβητήσω ὅτι ὅσοι βρίσκονται σὲ παραφροσύνη ἢ ὀνειρεύονται ἔχουν ψευδεῖς πεποιθήσεις, ὅταν ἄλλοι ἀπὸ αὐτοὺς νομίζουν ὅτι εἶναι θεοὶ καὶ ἄλλοι ὅτι ἔχουν φτερὰ καὶ πιστεύουν ὅτι πετοῦν στὸν ὕπνο τους.

ΣΩ. Ἄραγε δὲν λαμβάνεις ὑπόψη σου καὶ τὴν ἑξῆς ἀμφισβήτηση σχετικὰ μὲ αὐτὰ τὰ πράγματα, ποὺ ἀφορᾶ ἰδιαίτερα τὸ ζήτημα τοῦ ὕπνου καὶ τοῦ ξύπνιου;

ΘΕΑΙ. Ποιά εἶναι αὐτή;

ΣΩ. Ἐκεῖνο ποὺ πιστεύω ὅτι ἔχεις ἀκούσει πολλὲς φορὲς νὰ ρωτοῦν: ποιό τεκμήριο διαθέτουμε γιὰ νὰ ἀποδείξουμε, ἂν κάποιος μᾶς ρωτήσει τώρα, τούτη τὴ στιγμή, κατὰ πόσον κοιμόμαστε καὶ βλέπουμε στὸ ὄνειρό μας ὅλα ὅσα σκεφτόμαστε, ἢ εἴμαστε ξύπνιοι καὶ συζητοῦμε πραγματικὰ μεταξύ μας.[29]

ΘΕΑΙ. Πράγματι, Σωκράτη, δὲν ἔχω νὰ πῶ κάποιο τεκμήριο ποὺ μπορῶ νὰ προσκομίσω· ἀφοῦ ὅλα τους εἶναι συνεπῆ τὸ ἕνα μὲ τὸ ἄλλο, ἀλλὰ ἀντίστροφα. Διότι τίποτα δὲν ἐμποδίζει ἡ συζήτηση ποὺ μόλις εἴχαμε νὰ μᾶς φάνηκε ὅτι τὴν διεξήγαμε ἀλλὰ στὸν ὕπνο μας. Καὶ ἰδιαίτερα, ὅταν στὸ ὄνειρό μας νομίζουμε ὅτι διηγούμαστε ἄλλα ὄνειρα, ἡ ὁμοιότητα τῆς μιᾶς κατάστασης μὲ τὴν ἄλλη εἶναι ἀπίστευτη.

ΣΩ. Τὸ βλέπεις ἑπομένως ὅτι δὲν εἶναι δύσκολο ἡ θεωρία νὰ ἀμφισβητηθεῖ, ἀπὸ τὴ στιγμὴ ποὺ τίθεται σὲ ἀμφισβήτηση ἡ διάκριση ἀνάμεσα σὲ ὕπνο καὶ σὲ ξύπνιο. Καὶ μάλιστα, δεδομένου ὅτι ὁ χρόνος ποὺ κοιμόμαστε καὶ ἐκεῖνος ποὺ εἴμαστε ξύπνιοι εἶναι ἴσος, ἡ ψυχή μας ἰσχυρίζεται μὲ σθένος κάθε φορὰ ὅτι οἱ πεποιθήσεις της ποὺ ἔχει σὲ μιὰ δεδομένη στιγμὴ εἶναι

εἶναι ἀληθῆ, ὥστε ἴσον μὲν χρόνον τάδε φαμὲν ὄντα εἶναι, ἴσον δὲ ἐκεῖνα, καὶ ὁμοίως ἐφ' ἑκατέροις διισχυριζόμεθα.

ΘΕΑΙ. Παντάπασι μὲν οὖν.

ΣΩ. Οὐκοῦν καὶ περὶ νόσων τε καὶ μανιῶν ὁ αὐτὸς λόγος, πλὴν τοῦ χρόνου ὅτι οὐχὶ ἴσος;

ΘΕΑΙ. Ὀρθῶς.

ΣΩ. Τί οὖν; πλήθει χρόνου καὶ ὀλιγότητι τὸ ἀληθὲς ὁρισθήσεται;

e ΘΕΑΙ. Γελοῖον μεντἂν εἴη πολλαχῇ.

ΣΩ. Ἀλλά τι ἄλλο ἔχεις σαφὲς ἐνδείξασθαι ὁποῖα τούτων τῶν δοξασμάτων ἀληθῆ;

ΘΕΑΙ. Οὔ μοι δοκῶ.

ΣΩ. Ἐμοῦ τοίνυν ἄκουε οἷα περὶ αὐτῶν ἂν λέγοιεν οἱ τὰ ἀεὶ δοκοῦντα ὁριζόμενοι τῷ δοκοῦντι εἶναι ἀληθῆ. λέγουσι δέ, ὡς ἐγὼ οἶμαι, οὕτως ἐρωτῶντες· "Ὦ Θεαίτητε, ὃ ἂν ἕτερον ᾖ παντάπασιν, μή πῄ τινα δύναμιν τὴν αὐτὴν ἔξει τῷ ἑτέρῳ; καὶ μὴ ὑπολάβωμεν τῇ μὲν ταὐτὸν εἶναι ὃ ἐρωτῶμεν τῇ δὲ ἕτερον, ἀλλ' ὅλως ἕτερον."

159 ΘΕΑΙ. Ἀδύνατον τοίνυν ταὐτόν τι ἔχειν ἢ ἐν δυνάμει ἢ ἐν ἄλλῳ ὁτῳοῦν, ὅταν ᾖ κομιδῇ ἕτερον.

ΣΩ. Ἆρ' οὖν οὐ καὶ ἀνόμοιον ἀναγκαῖον τὸ τοιοῦτον ὁμολογεῖν;

ΘΕΑΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Εἰ ἄρα τι συμβαίνει ὅμοιόν τῳ γίγνεσθαι ἢ ἀνόμοιον, εἴτε ἑαυτῷ εἴτε ἄλλῳ, ὁμοιούμενον μὲν ταὐτὸν φήσομεν γίγνεσθαι, ἀνομοιούμενον δὲ ἕτερον;

ΘΕΑΙ. Ἀνάγκη.

ΣΩ. Οὔκουν πρόσθεν ἐλέγομεν ὡς πολλὰ μὲν εἴη τὰ ποιοῦντα καὶ ἄπειρα, ὡσαύτως δέ γε τὰ πάσχοντα;

ὁπωσδήποτε οἱ πιὸ ἀληθεῖς. Ὁπότε γιὰ ἴσο χρόνο λέμε ὅτι ἰσχύουν τὰ μὲν καὶ γιὰ ἴσο τὰ δέ, καὶ εἴμαστε ἐξίσου πεπεισμένοι καὶ γιὰ τὰ δύο.

ΘΕΑΙ. Βεβαιότατα.

ΣΩ. Τὰ ἴδια, ἑπομένως, δὲν ἰσχύουν καὶ γιὰ τὶς νόσους καὶ γιὰ τὶς καταστάσεις παραφροσύνης, ἂν ἐξαιρέσουμε τὸν χρόνο, ἀφοῦ σὲ αὐτὲς τὶς περιπτώσεις δὲν εἶναι ἴσος;

ΘΕΑΙ. Σωστά.

ΣΩ. Τί λοιπόν; Θὰ ὁρίσουμε τὸ ἀληθὲς μὲ βάση τὸν πολὺ ἢ τὸν λίγο χρόνο;

ΘΕΑΙ. Αὐτὸ θὰ ἦταν ἐντελῶς γελοῖο.

ΣΩ. Ἀλλὰ τί ἄλλο σαφὲς θὰ εἶχες νὰ ὑποδείξεις γιὰ τὸ ποιές ἀπὸ αὐτὲς τὶς πεποιθήσεις εἶναι ἀληθεῖς;

ΘΕΑΙ. Δὲν νομίζω ὅτι ἔχω.[30]

ΣΩ. Ἄκουσε ἀπὸ ἐμένα, λοιπόν, τί θὰ ἔλεγαν γι' αὐτὰ ἐκεῖνοι ποὺ ὁρίζουν ὅτι ὅσα πιστεύει κάποιος εἶναι γι' αὐτὸν ποὺ τὰ πιστεύει ἀληθῆ. Μιλοῦν κάπως ἔτσι, θαρρῶ, καὶ θέτουν τὸ ἑξῆς ἐρώτημα: «Ἔ, Θεαίτητε, ὅταν κάτι εἶναι ἐντελῶς ἕτερο ἀπὸ κάτι ἄλλο, δὲν θὰ μπορεῖ νὰ ἔχει κάποια δυνατότητα ποὺ νὰ εἶναι ἴδια μὲ τὸ ἄλλο, ἔτσι δὲν εἶναι; Καὶ ἂς μὴ θεωρήσουμε ὅτι αὐτὸ ποὺ ρωτᾶμε ἀφορᾶ κάτι ποὺ εἶναι κατά τι ταυτὸ καὶ κατά τι ἕτερο, ἀλλὰ κάτι ἐντελῶς ἕτερο».

ΘΕΑΙ. Μὰ ἂν ἔτσι συμβαίνει, τότε εἶναι συνεπῶς ἀδύνατον νὰ ἔχει τὴν ἴδια δυνατότητα ἢ ὁτιδήποτε ἄλλο, ἐφόσον εἶναι ἐντελῶς ἕτερο.

ΣΩ. Ὥστε λοιπὸν εἴμαστε σύμφωνοι ὅτι κάτι τέτοιο θὰ εἶναι ὑποχρεωτικὰ καὶ ἀνόμοιο;

ΘΕΑΙ. Ἔτσι πιστεύω.

ΣΩ. Ἂν ἑπομένως συμβαίνει κάτι νὰ γίνεται ὅμοιο ἢ ἀνόμοιο μὲ κάτι, εἴτε γιὰ τὸν ἑαυτό του πρόκειται εἴτε γιὰ κάτι ἄλλο, δὲν θὰ ποῦμε ὅτι, ἂν γίνεται ὅμοιο, τότε γίνεται ταυτό, καὶ ἂν γίνεται ἀνόμοιο, τότε γίνεται ἕτερο;

ΘΕΑΙ. Ὑποχρεωτικά.

ΣΩ. Καὶ δὲν εἴπαμε προηγουμένως ὅτι αὐτὰ ποὺ ἐνεργοῦν θὰ εἶναι πολλὰ ἢ ἄπειρα, καὶ τὸ ἴδιο αὐτὰ ποὺ πάσχουν;

ΘΕΑΙ. Ναί.

ΣΩ. Καὶ μὴν ὅτι γε ἄλλο ἄλλῳ συμμειγνύμενον καὶ ἄλλῳ οὐ ταὐτὰ ἀλλ' ἕτερα γεννήσει;

b ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Λέγωμεν δὴ ἐμέ τε καὶ σὲ καὶ τἆλλα ἤδη κατὰ τὸν αὐτὸν λόγον, Σωκράτη ὑγιαίνοντα καὶ Σωκράτη αὖ ἀσθενοῦντα. πότερον ὅμοιον τοῦτ' ἐκείνῳ ἢ ἀνόμοιον φήσομεν;

5 ΘΕΑΙ. Ἆρα τὸν ἀσθενοῦντα Σωκράτη, ὅλον τοῦτο λέγεις ὅλῳ ἐκείνῳ, τῷ ὑγιαίνοντι Σωκράτει;

ΣΩ. Κάλλιστα ὑπέλαβες· αὐτὸ τοῦτο λέγω.

ΘΕΑΙ. Ἀνόμοιον δήπου.

ΣΩ. Καὶ ἕτερον ἄρα οὕτως ὥσπερ ἀνόμοιον;

10 ΘΕΑΙ. Ἀνάγκη.

c ΣΩ. Καὶ καθεύδοντα δὴ καὶ πάντα ἃ νυνδὴ διήλθομεν, ὡσαύτως φήσεις;

ΘΕΑΙ. Ἔγωγε.

ΣΩ. Ἕκαστον δὴ τῶν πεφυκότων τι ποιεῖν, ἄλλο τι, ὅταν μὲν

5 λάβῃ ὑγιαίνοντα Σωκράτη, ὡς ἑτέρῳ μοι χρήσεται, ὅταν δὲ ἀσθενοῦντα, ὡς ἑτέρῳ;

ΘΕΑΙ. Τί δ' οὐ μέλλει;

ΣΩ. Καὶ ἕτερα δὴ ἐφ' ἑκατέρου γεννήσομεν ἐγώ τε ὁ πάσχων καὶ ἐκεῖνο τὸ ποιοῦν;

10 ΘΕΑΙ. Τί μήν;

ΣΩ. Ὅταν δὴ οἶνον πίνω ὑγιαίνων, ἡδύς μοι φαίνεται καὶ γλυκύς;

ΘΕΑΙ. Ναί.

ΣΩ. Ἐγέννησε γὰρ δὴ ἐκ τῶν προωμολογημένων τό τε ποι-

d οῦν καὶ τὸ πάσχον γλυκύτητά τε καὶ αἴσθησιν, ἅμα φερόμενα ἀμφότερα, καὶ ἡ μὲν αἴσθησις πρὸς τοῦ πάσχοντος οὖσα αἰσθανομένην τὴν γλῶτταν ἀπηργάσατο, ἡ δὲ γλυκύτης πρὸς τοῦ οἴνου περὶ αὐτὸν φερομένη γλυκὺν τὸν οἶνον τῇ ὑγιαινούσῃ

5 γλώττῃ ἐποίησεν καὶ εἶναι καὶ φαίνεσθαι.

---

c1 νυνδὴ Heindorf: νῦν **c**

ΘΕΑΙ. Ναί.

ΣΩ. Καὶ ἐπίσης πώς, ὅταν ἕνα ἀπὸ αὐτὰ συνευρίσκεται μὲ διάφορα ἄλλα, αὐτὰ ποὺ θὰ γεννήσει θὰ εἶναι ὄχι τὰ ἴδια ἀλλὰ ἕτερα;

ΘΕΑΙ. Ὁπωσδήποτε.

ΣΩ. Ἂς πάρουμε λοιπὸν ἢ ἐμένα ἢ ἐσένα ἢ ὁτιδήποτε ἄλλο γιὰ τὸ ὁποῖο ἰσχύει ἡ ἴδια αὐτὴ θεωρία, γιὰ παράδειγμα τὸν ὑγιὴ Σωκράτη καὶ τὸν ἀσθενοῦντα Σωκράτη. Τί θὰ ποῦμε, ὅτι αὐτὰ εἶναι ἀνόμοια τὸ ἕνα μὲ τὸ ἄλλο;

ΘΕΑΙ. Ἐννοεῖς ὅλο αὐτὸ μαζί, τὸν 'ἀσθενοῦντα Σωκράτη', καὶ ὅλο μαζὶ ἐκεῖνο, τὸν 'ὑγιὴ Σωκράτη';

ΣΩ. Πολὺ καλὰ κατάλαβες, αὐτὸ ἐννοῶ.

ΘΕΑΙ. Ἑπομένως εἶναι ἀσφαλῶς κάτι ἀνόμοιο.

ΣΩ. Καὶ συνεπῶς, ἐφόσον ἀνόμοιο, καὶ ἕτερο;

ΘΕΑΙ. Ἀναγκαστικά.

ΣΩ. Καὶ θὰ ἔλεγες τὸ ἴδιο γιὰ τὸν 'κοιμώμενο Σωκράτη' καὶ γιὰ ὅλα ὅσα ἀναφέραμε προηγουμένως;

ΘΕΑΙ. Βεβαίως.

ΣΩ. Καθένα λοιπὸν ἀπὸ αὐτὰ ποὺ εἶναι ἀπὸ τὴ φύση τους ἐνεργητικὰ θὰ ἐπενεργεῖ πάνω μου ὡς σὲ κάτι ἄλλο ἂν μὲ προλάβει ὅσο εἶμαι ὑγιής, καὶ ὡς σὲ κάτι ἕτερο ὅταν εἶμαι ἀσθενής.

ΘΕΑΙ. Καὶ γιατί ὄχι;

ΣΩ. Καὶ ἑπομένως θὰ γεννήσουμε τόσο ἐγὼ ποὺ πάσχω ὅσο καὶ ἐκεῖνο ποὺ ἐνεργεῖ κάτι διαφορετικὸ κάθε φορά.

ΘΕΑΙ. Ἀσφαλῶς.

ΣΩ. Ἐφόσον τώρα πιῶ κρασὶ ὅταν εἶμαι ὑγιής, δὲν μοῦ φαίνεται εὐχάριστο καὶ γλυκό;

ΘΕΑΙ. Ναί.

ΣΩ. Ἐπειδή, μὲ βάση ὅσα ἔχουμε συμφωνήσει, τὸ ἐνεργητικὸ καὶ τὸ παθητικό, καθὼς μεταβάλλονται καὶ τὰ δύο μαζὶ ταυτόχρονα, γεννοῦν τὴ γλυκύτητα καὶ τὴν αἴσθηση, ὁπότε ἡ μὲν αἴσθηση, εὑρισκόμενη ἀπὸ τὴν πλευρὰ τοῦ πάσχοντος, κάνει τὴ γλώσσα νὰ αἰσθανθεῖ, ἐνῶ ἡ γλυκύτητα, καθὼς κινεῖται ἐκεῖ ὅπου βρίσκεται τὸ κρασί, κάνει τὸ κρασὶ καὶ νὰ εἶναι καὶ νὰ φαίνεται γλυκὸ γιὰ τὴ γλώσσα ποὺ εἶναι ὑγιής.

ΘΕΑΙ. Πάνυ μὲν οὖν τὰ πρότερα ἡμῖν οὕτως ὡμολόγητο.

ΣΩ. Ὅταν δὲ ἀσθενοῦντα, ἄλλο τι πρῶτον μὲν τῇ ἀληθείᾳ οὐ τὸν αὐτὸν ἔλαβεν; ἀνομοίῳ γὰρ δὴ προσῆλθεν.

ΘΕΑΙ. Ναί.

e ΣΩ. Ἕτερα δὴ αὖ ἐγεννησάτην ὅ τε τοιοῦτος Σωκράτης καὶ ἡ τοῦ οἴνου πόσις, περὶ μὲν τὴν γλῶτταν αἴσθησιν πικρότητος, περὶ δὲ τὸν οἶνον γιγνομένην καὶ φερομένην πικρότητα, καὶ τὸν μὲν οὐ πικρότητα ἀλλὰ πικρόν, ἐμὲ δὲ οὐκ αἴσθησιν ἀλλ' αἰσθα-
5 νόμενον;

ΘΕΑΙ. Κομιδῇ μὲν οὖν.

ΣΩ. Οὔκουν ἐγώ τε οὐδὲν ἄλλο ποτὲ γενήσομαι οὕτως αἰσθανόμενος· τοῦ γὰρ ἄλλου ἄλλη αἴσθησις, καὶ ἀλλοῖον καὶ
160 ἄλλον ποιεῖ τὸν αἰσθανόμενον· οὔτ' ἐκεῖνο τὸ ποιοῦν ἐμὲ μήποτ' ἄλλῳ συνελθὸν ταὐτὸν γεννῆσαν τοιοῦτον γένηται· ἀπὸ γὰρ ἄλλου ἄλλο γεννῆσαν ἀλλοῖον γενήσεται.

ΘΕΑΙ. Ἔστι ταῦτα.

5 ΣΩ. Οὐδὲ μὴν ἔγωγε ἐμαυτῷ τοιοῦτος, ἐκεῖνό τε ἑαυτῷ τοιοῦτον γενήσεται.

ΘΕΑΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Ἀνάγκη δέ γε ἐμέ τε τινὸς γίγνεσθαι, ὅταν αἰσθανόμενος γίγνωμαι· αἰσθανόμενον γάρ, μηδενὸς δὲ αἰσθανόμενον, ἀδύ-
b νατον γίγνεσθαι· ἐκεῖνό τε τινὶ γίγνεσθαι, ὅταν γλυκὺ ἢ πικρὸν ἤ τι τοιοῦτον γίγνηται· γλυκὺ γάρ, μηδενὶ δὲ γλυκὺ ἀδύνατον γενέσθαι.

ΘΕΑΙ. Παντάπασι μὲν οὖν.

5 ΣΩ. Λείπεται δὴ οἶμαι ἡμῖν ἀλλήλοις, εἴτ' ἐσμέν, εἶναι, εἴτε γιγνόμεθα, γίγνεσθαι, ἐπείπερ ἡμῶν ἡ ἀνάγκη τὴν οὐσίαν συνδεῖ μέν, συνδεῖ δὲ οὐδενὶ τῶν ἄλλων οὐδ' αὖ ἡμῖν αὐτοῖς. ἀλλή-

ΘΕΑΙ. Βεβαίως, ἔτσι συμφωνήσαμε προηγουμένως.

ΣΩ. Ὅταν ὅμως εἶμαι ἄρρωστος, τότε, πρῶτα ἀπ' ὅλα, ἐκεῖνος τὸν ὁποῖο θὰ συναντήσει μήπως δὲν εἶναι στὰ ἀλήθεια ὁ ἴδιος; Ἀφοῦ αὐτὸς τὸν ὁποῖο πλησιάζει θὰ εἶναι ἀνόμοιος.

ΘΕΑΙ. Ναί.

ΣΩ. Ὁπότε λοιπόν, ὁ τέτοιος Σωκράτης καὶ ἡ πόση τοῦ κρασιοῦ θὰ γεννήσουν στὴ γλώσσα κάτι διαφορετικό: τὴν αἴσθηση τῆς πικράδας, μιᾶς πικράδας ἡ ὁποία ἀφορᾶ καὶ κινεῖται στὴν περιοχὴ τοῦ κρασιοῦ, κάνοντάς το ἐκεῖνο ὄχι πικράδα ἀλλὰ πικρό, ἐνῶ ἐμένα ὄχι αἴσθηση ἀλλὰ αἰσθανόμενο;

ΘΕΑΙ. Ὁπωσδήποτε.

ΣΩ. Ἑπομένως, κατ' αὐτὸν τὸν τρόπο, ἐγὼ δὲν θὰ βρεθῶ ποτὲ νὰ αἰσθάνομαι τίποτε ἄλλο· διότι ἡ αἴσθηση τοῦ ἄλλου θὰ εἶναι ἄλλη, καὶ θὰ κάνει αὐτὸν ποὺ τὴν αἰσθάνεται ἀλλιώτικο καὶ ἄλλον. Ἀλλὰ οὔτε ἐκεῖνο ποὺ ἐνεργεῖ σὲ ἐμένα, ἐφόσον συνευρίσκεται μὲ κάποιον ἄλλο, θὰ μπορεῖ ποτὲ νὰ γεννήσει κάτι ποὺ νὰ εἶναι τὸ ἴδιο· ἀφοῦ, ὅταν γεννήσει κάτι ἄλλο ἀπὸ κάποιον ἄλλο, τότε θὰ γεννηθεῖ κάτι ἀλλιώτικο.

ΘΕΑΙ. Αὐτὰ ἰσχύουν.

ΣΩ. Οὔτε, συνεπῶς, ἐγὼ θὰ ἔχω τὴν ἴδια αἴσθηση μὲ τὸν ἑαυτό μου, οὔτε ἐκεῖνο θὰ ἔχει τὴν ἴδια ἰδιότητα μὲ τὸν ἑαυτό του.

ΘΕΑΙ. Ὄχι βέβαια.

ΣΩ. Ἀλλὰ εἶναι ἀναγκαῖο, ὅταν ἀποκτῶ αἴσθηση, τοῦτο νὰ γίνεται ὡς πρὸς κάτι, ἐφόσον τὸ νὰ ἔχω ἕνα αἰσθητηριακὸ ἐνέργημα καὶ νὰ μὴν αἰσθάνομαι τίποτα εἶναι ἀδύνατον νὰ συμβεῖ. Καὶ ἐκεῖνο, ὅταν γίνεται γλυκὸ ἢ πικρὸ ἢ κάτι τέτοιο, αὐτὸ θὰ συμβαίνει γιὰ κάποιον· ἀφοῦ εἶναι ἀδύνατον νὰ ὑπάρξει γλυκὸ ποὺ δὲν εἶναι γλυκὸ γιὰ κανέναν.

ΘΕΑΙ. Ὁπωσδήποτε.

ΣΩ. Ἀπομένει ἑπομένως, θαρρῶ, ὅτι ἐμεῖς, εἴτε εἴμαστε — ἂν εἴμαστε— εἴτε γινόμαστε —ἂν γινόμαστε— ὁ ἕνας γιὰ τὸν ἄλλον, καθὼς ἡ ἀναγκαιότητα ἀπαιτεῖ κατ' οὐσίαν νὰ εἴμαστε συνδεδεμένοι, ὅμως δὲν μᾶς συνδέει μὲ τίποτε ἄλλο, οὔτε κἂν μὲ τὸν ἑαυτό μας. Αὐτὸ ποὺ ἀπομένει, λοιπόν, εἶναι ὅτι εἴμαστε

λοις δὴ λείπεται συνδεδέσθαι. ὥστε εἴτε τις εἶναί τι ὀνομάζει, τινὶ εἶναι ἢ τινὸς ἢ πρός τι ῥητέον αὐτῷ, εἴτε γίγνεσθαι· αὐτὸ
c δὲ ἐφ' αὑτοῦ τι ἢ ὂν ἢ γιγνόμενον οὔτε αὐτῷ λεκτέον οὔτ' ἄλλου λέγοντος ἀποδεκτέον, ὡς ὁ λόγος ὃν διεληλύθαμεν σημαίνει.

ΘΕΑΙ. Παντάπασι μὲν οὖν, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν ὅτε δὴ τὸ ἐμὲ ποιοῦν ἐμοί ἐστιν καὶ οὐκ ἄλλῳ,
5 ἐγὼ καὶ αἰσθάνομαι αὐτοῦ, ἄλλος δ' οὔ;

ΘΕΑΙ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἀληθὴς ἄρα ἐμοὶ ἡ ἐμὴ αἴσθησις —τῆς γὰρ ἐμῆς οὐσίας ἀεί ἐστιν— καὶ ἐγὼ κριτὴς κατὰ τὸν Πρωταγόραν τῶν τε ὄντων ἐμοὶ ὡς ἔστι, καὶ τῶν μὴ ὄντων ὡς οὐκ ἔστιν.

10 ΘΕΑΙ. Ἔοικεν.

d ΣΩ. Πῶς ἂν οὖν ἀψευδὴς ὢν καὶ μὴ πταίων τῇ διανοίᾳ περὶ τὰ ὄντα ἢ γιγνόμενα οὐκ ἐπιστήμων ἂν εἴην ὥνπερ αἰσθητής;

ΘΕΑΙ. Οὐδαμῶς ὅπως οὔ.

ΣΩ. Παγκάλως ἄρα σοι εἴρηται ὅτι ἐπιστήμη οὐκ ἄλλο τί
5 ἐστιν ἢ αἴσθησις, καὶ εἰς ταὐτὸν συμπέπτωκεν, κατὰ μὲν Ὅμηρον καὶ Ἡράκλειτον καὶ πᾶν τὸ τοιοῦτον φῦλον οἷον ῥεύματα κινεῖσθαι τὰ πάντα, κατὰ δὲ Πρωταγόραν τὸν σοφώτατον
e πάντων χρημάτων ἄνθρωπον μέτρον εἶναι, κατὰ δὲ Θεαίτητον τούτων οὕτως ἐχόντων αἴσθησιν ἐπιστήμην γίγνεσθαι. ἦ γάρ, ὦ Θεαίτητε; φῶμεν τοῦτο σὸν μὲν εἶναι οἷον νεογενὲς παιδίον, ἐμὸν δὲ μαίευμα; ἢ πῶς λέγεις;

5 ΘΕΑΙ. Οὕτως ἀνάγκη, ὦ Σώκρατες.

ΣΩ. Τοῦτο μὲν δή, ὡς ἔοικεν, μόλις ποτὲ ἐγεννήσαμεν, ὅτι δή ποτε τυγχάνει ὄν. μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια αὐτοῦ ὡς

συνδεδεμένοι μεταξύ μας. Συνεπῶς, εἴτε «εἶναι» τὸ ἀποκαλεῖ κάποιος εἴτε «γίγνεσθαι», θὰ πρέπει πάντοτε νὰ θεωρεῖται ἢ ὅτι ἀναφέρεται σὲ κάποιον, ἢ ὅτι ἀνήκει σὲ κάτι, ἢ ὅτι εἶναι ὡς πρὸς κάτι· ἀπὸ τὴν ἄλλη πλευρά, ὅπως τὸ δηλώνει ἡ θεωρία τὴν ὁποία παρουσιάσαμε, δὲν θὰ πρέπει οὔτε ἐμεῖς νὰ λέμε οὔτε νὰ ἀποδεχόμαστε, ἂν τὸ λέει κάποιος ἄλλος, πὼς ὁτιδήποτε αὐτὸ τὸ ἴδιο εἶναι ἢ γίνεται κάτι καθαυτό.

ΘΕΑΙ. Βεβαιότατα, Σωκράτη.

ΣΩ. Συνεπῶς, ὅταν ἐνεργεῖ σὲ ἐμένα, θὰ ἀφορᾶ ἐμένα καὶ ὄχι κάποιον ἄλλον, καὶ θὰ τὸ αἰσθάνομαι ἐγὼ καὶ ὄχι ἄλλος;

ΘΕΑΙ. Πῶς ἀλλιῶς;

ΣΩ. Ἄρα ἡ αἴσθηση θὰ εἶναι ἀληθὴς γιὰ ἐμένα —ἐφόσον θὰ ἀφορᾶ πάντοτε τὴ δική μου πραγματικότητα— καὶ ἐγώ, σύμφωνα μὲ τὸν Πρωταγόρα, θὰ εἶμαι κριτὴς καὶ γιὰ τὸ ὅτι ἰσχύουν ὅσα ἰσχύουν γιὰ ἐμένα, καὶ γιὰ τὸ ὅτι δὲν ἰσχύουν ὅσα δὲν ἰσχύουν.

ΘΕΑΙ. Ἔτσι φαίνεται.

ΣΩ. Πῶς λοιπόν, ἐφόσον εἶμαι ἀδιάψευστος καὶ ἀλάνθαστος στὴ διάνοιά μου ὅσον ἀφορᾶ τὰ ὄντα καὶ τὰ γινόμενα, δὲν θὰ εἶμαι γνώστης ὅσων αἰσθάνομαι;

ΘΕΑΙ. Δὲν ὑπάρχει κανένας τρόπος.

ΣΩ. Ἄρα τὸ διατύπωσες πολὺ ὡραῖα, ὅτι ἡ γνώση δὲν εἶναι τίποτε ἄλλο ἀπὸ αἴσθηση, καὶ οἱ τρεῖς ἀπόψεις συμπίπτουν: κατὰ μὲν τὸν Ὅμηρο, τὸν Ἡράκλειτο καὶ ὅλη ἐκείνη τὴν παρέα ὅτι τὰ πάντα μεταβάλλονται σὰν ρεύματα, κατὰ τὸν σοφότατο Πρωταγόρα ὅτι ὁ ἄνθρωπος εἶναι τὸ μέτρο ὅλων τῶν πραγμάτων, καὶ κατὰ τὸν Θεαίτητο ὅτι, ἐφόσον ἔτσι ἔχουν αὐτά, προκύπτει ὅτι ἡ αἴσθηση εἶναι γνώση. Ἔτσι δὲν εἶναι, Θεαίτητε; Μποροῦμε νὰ ποῦμε ὅτι αὐτὸ εἶναι κάτι σὰν δικό σου νεογέννητο παιδὶ καὶ προϊὸν τῆς δικῆς μου μαίευσης; Ἢ πῶς θὰ τὸ ἔλεγες;

ΘΕΑΙ. Ἔτσι, ἀναγκαστικά, Σωκράτη.[31]

ΣΩ. Τοῦτο λοιπὸν φαίνεται πὼς εἶναι αὐτὸ ποὺ μὲ τόσον κόπο γεννήσαμε, ὅ,τι καὶ ἂν τυχαίνει νὰ εἶναι. Καὶ μετὰ τὸν τοκετό,

ἀληθῶς ἐν κύκλῳ περιθρεκτέον τῷ λόγῳ, σκοπουμένους μὴ λάθῃ ἡμᾶς οὐκ ἄξιον ὂν τροφῆς τὸ γιγνόμενον, ἀλλὰ ἀνεμιαῖόν τε
161 καὶ ψεῦδος. ἢ σὺ οἴει πάντως δεῖν τό γε σὸν τρέφειν καὶ μὴ ἀποτιθέναι, ἢ καὶ ἀνέξῃ ἐλεγχόμενον ὁρῶν, καὶ οὐ σφόδρα χαλεπανεῖς ἐάν τις σοῦ ὡς πρωτοτόκου αὐτὸ ὑφαιρῇ;

ΘΕΟ. Ἀνέξεται, ὦ Σώκρατες, Θεαίτητος· οὐδαμῶς γὰρ δύσ-
5 κολος. ἀλλὰ πρὸς θεῶν εἰπὲ ᾗ αὖ οὐχ οὕτως ἔχει;

ΣΩ. Φιλόλογός γ' εἶ ἀτεχνῶς καὶ χρηστός, ὦ Θεόδωρε, ὅτι με οἴει λόγων τινὰ εἶναι θύλακον καὶ ῥᾳδίως ἐξελόντα ἐρεῖν ὡς οὐκ
b αὖ ἔχει οὕτω ταῦτα· τὸ δὲ γιγνόμενον οὐκ ἐννοεῖς, ὅτι οὐδεὶς τῶν λόγων ἐξέρχεται παρ' ἐμοῦ ἀλλ' ἀεὶ παρὰ τοῦ ἐμοὶ προσδιαλεγομένου, ἐγὼ δὲ οὐδὲν ἐπίσταμαι πλέον πλὴν βραχέος, ὅσον λόγον παρ' ἑτέρου σοφοῦ λαβεῖν καὶ ἀποδέξασθαι με-
5 τρίως. καὶ νῦν τοῦτο παρὰ τοῦδε πειράσομαι, οὔ τι αὐτὸς εἰπεῖν.

ΘΕΟ. Σὺ κάλλιον, ὦ Σώκρατες, λέγεις· καὶ ποίει οὕτως.

ΣΩ. Οἶσθ' οὖν, ὦ Θεόδωρε, ὃ θαυμάζω τοῦ ἑταίρου σου Πρω-
ταγόρου;

c ΘΕΟ. Τὸ ποῖον;

ΣΩ. Τὰ μὲν ἄλλα μοι πάνυ ἡδέως εἴρηκεν, ὡς τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ ἔστιν· τὴν δ' ἀρχὴν τοῦ λόγου τεθαύμακα, ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς Ἀληθείας ὅτι "πάντων χρημάτων
5 μέτρον ἐστὶν ὗς" ἢ "κυνοκέφαλος" ἤ τι ἄλλο ἀτοπώτερον τῶν ἐχόντων αἴσθησιν, ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν, ἐνδεικνύμενος ὅτι ἡμεῖς μὲν αὐτὸν

a5 ᾗ Burnet: ἢ Par.B: ἡ **β**: ἢ W: ἡ T

θὰ πρέπει νὰ πραγματοποιήσουμε γιὰ τοῦτο τὴν τελετὴ τῶν ἀμφιδρομίων, ἐξετάζοντάς το μὲ τὸν λόγο ἀπ' ὅλες τὶς πλευρὲς καὶ προσέχοντας μήπως μᾶς διαφύγει ὅτι αὐτὸ ποὺ γεννήθηκε δὲν εἶναι ἄξιο ἀνατροφῆς, ἀλλὰ ἀποτελεῖ ἀνεμογκάστρι καὶ ψεῦδος. Ἢ μήπως ἐσὺ πιστεύεις ὅτι τὸ γέννημά σου θὰ πρέπει ὁπωσδήποτε νὰ ἀνατραφεῖ καὶ νὰ μὴν ἀφεθεῖ ἔκθετο; Θὰ ἀντέξεις νὰ τὸ δεῖς νὰ ὑφίσταται ἔλεγχο, καὶ δὲν θὰ ἀγανακτήσεις ὑπερβολικά, ἂν κάποιος σοῦ ἀφαιρέσει τὸ πρωτότοκο βλαστάρι σου;

ΘΕΟ. Ὁ Θεαίτητος θὰ τὸ ἀντέξει, Σωκράτη, διότι δὲν εἶναι καθόλου δύστροπος. Ἀλλά, μά τοὺς θεούς, πές μας τί δὲν εἶναι ἔτσι ὅπως τὸ εἴπαμε;

ΣΩ. Ἔχεις μεγάλη ἀγάπη γιὰ τὶς συζητήσεις, Θεόδωρε, καὶ μοῦ ἀρέσει ποὺ μὲ θεωρεῖς σὰν ἕνα εἶδος πουγγιοῦ γεμάτου μὲ λόγους, ὥστε νὰ μπορῶ μὲ εὐκολία νὰ τραβήξω ἔξω ἕναν καὶ νὰ πῶ ὅτι αὐτὰ δὲν εἶναι ἔτσι. Δὲν ἀντιλαμβάνεσαι ἐκεῖνο ποὺ συμβαίνει, ὅτι κανένας ἀπὸ τοὺς λόγους δὲν βγαίνει ἀπὸ ἐμένα, ἀλλὰ κάθε φορὰ ἀπὸ τὸν συνομιλητή μου, ἐνῶ ἐγὼ δὲν ξέρω τίποτε παραπάνω ἐκτὸς ἀπὸ λίγα πράγματα, ὅσα χρειάζονται γιὰ νὰ πάρω τὸν λόγο ἀπὸ κάποιον ἄλλον ποὺ εἶναι σοφὸς καὶ νὰ τὸν κάνω μετὰ ἀπὸ ἐπαρκὴ χειρισμὸ ἀποδεκτό. Καὶ τώρα, αὐτὸ θὰ προσπαθήσω νὰ κάνω παίρνοντας ἀπὸ τοῦτον ἐδῶ, καὶ ὄχι λέγοντας ἐγὼ ὁ ἴδιος κάτι.

ΘΕΟ. Ἐσὺ τὰ λὲς καλύτερα, Σωκράτη. Κάνε λοιπὸν ἔτσι.

ΣΩ. Ξέρεις, Θεόδωρε, τί εἶναι αὐτὸ ποὺ μὲ ἐκπλήσσει στὸν σύντροφό σου τὸν Πρωταγόρα;

ΘΕΟ. Ποιό εἶναι αὐτό;

ΣΩ. Ὅτι ὅλα τὰ ἄλλα τὰ ἔχει πεῖ μὲ ἀπολαυστικὸ τρόπο, πὼς αὐτὸ ποὺ πιστεύει ὁ καθένας αὐτὸ καὶ ἰσχύει. Μὲ ἐκπλήσσει, ὡστόσο, τὸ ξεκίνημα τοῦ ἔργου του, ὅταν στὴν ἀρχὴ τῆς *Ἀλήθειας* δὲν λέει ὅτι «ὅλων τῶν πραγμάτων μέτρο εἶναι ὁ χοῖρος» ἢ «ὁ μπαμπουίνος» ἢ κάποιο ἄλλο παράξενο ἀπ' ὅσα ἔχουν αἴσθηση, ἔτσι ὥστε νὰ ἀρχίσει νὰ μιλάει μὲ μεγαλοπρέπεια ἀλλὰ καὶ ἐντελῶς περιφρονητικά, δείχνοντας κατ'

ὥσπερ θεὸν ἐθαυμάζομεν ἐπὶ σοφίᾳ, ὁ δ' ἄρα ἐτύγχανεν ὢν εἰς
d φρόνησιν οὐδὲν βελτίων βατράχου γυρίνου, μὴ ὅτι ἄλλου του
ἀνθρώπων. ἢ πῶς λέγωμεν, ὦ Θεόδωρε; εἰ γὰρ δὴ ἑκάστῳ
ἀληθὲς ἔσται ὃ ἂν δι' αἰσθήσεως δοξάζῃ, καὶ μήτε τὸ ἄλλου
πάθος ἄλλος βέλτιον διακρινεῖ, μήτε τὴν δόξαν κυριώτερος
5 ἔσται ἐπισκέψασθαι ἕτερος τὴν ἑτέρου ὀρθὴ ἢ ψευδής, ἀλλ' ὃ
πολλάκις εἴρηται, αὐτὸς τὰ αὑτοῦ ἕκαστος μόνος δοξάσει,
ταῦτα δὲ πάντα ὀρθὰ καὶ ἀληθῆ, τί δή ποτε, ὦ ἑταῖρε, Πρωτα-
e γόρας μὲν σοφός, ὥστε καὶ ἄλλων διδάσκαλος ἀξιοῦσθαι δι-
καίως μετὰ μεγάλων μισθῶν, ἡμεῖς δὲ ἀμαθέστεροί τε καὶ
φοιτητέον ἡμῖν ἦν παρ' ἐκεῖνον, μέτρῳ ὄντι αὐτῷ ἑκάστῳ τῆς
αὐτοῦ σοφίας; ταῦτα πῶς μὴ φῶμεν δημούμενον λέγειν τὸν
5 Πρωταγόραν; τὸ δὲ δὴ ἐμόν τε καὶ τῆς ἐμῆς τέχνης τῆς μαιευ-
τικῆς σιγῶ ὅσον γέλωτα ὀφλισκάνομεν, οἶμαι δὲ καὶ σύμπασα
ἡ τοῦ διαλέγεσθαι πραγματεία. τὸ γὰρ ἐπισκοπεῖν καὶ ἐπιχει-
ρεῖν ἐλέγχειν τὰς ἀλλήλων φαντασίας τε καὶ δόξας, ὀρθὰς ἑκά-
162 στου οὔσας, οὐ μακρὰ μὲν καὶ διωλύγιος φλυαρία, εἰ ἀληθὴς ἡ
Ἀλήθεια Πρωταγόρου ἀλλὰ μὴ παίζουσα ἐκ τοῦ ἀδύτου τῆς βί-
βλου ἐφθέγξατο.

ΘΕΟ. Ὦ Σώκρατες, φίλος ἀνήρ, ὥσπερ σὺ νυνδὴ εἶπες. οὐκ
5 ἂν οὖν δεξαίμην δι' ἐμοῦ ὁμολογοῦντος ἐλέγχεσθαι Πρωταγό-
ραν, οὐδ' αὖ σοὶ παρὰ δόξαν ἀντιτείνειν. τὸν οὖν Θεαίτητον
πάλιν λαβέ· πάντως καὶ νυνδὴ μάλ' ἐμμελῶς σοι ἐφαίνετο ὑπα-
κούειν.

b ΣΩ. Ἆρα κἂν εἰς Λακεδαίμονα ἐλθών, ὦ Θεόδωρε, πρὸς τὰς

d4 διακρινεῖ Y: διακρίνῃ **c** a3 post ἐφθέγξατο interpunxi: ἐφθέγξατο; Burnet, Hicken a4 ἀνήρ Bekker: ἀνήρ **c**

αὐτὸν τὸν τρόπο ὅτι, ἐνῶ ἐμεῖς τὸν θαυμάζουμε σὰν θεὸ γιὰ τὴ
σοφία του, ἐκεῖνος στὴν πραγματικότητα δὲν εἶναι καθόλου
καλύτερος ὡς πρὸς τὴ φρόνηση ἀπὸ τὸν γυρίνο ἑνὸς βατράχου,
γιὰ νὰ μὴν πῶ ἀπὸ ὁποιονδήποτε ἄλλον ἄνθρωπο. Ἢ ἀλλιῶς τί
θὰ ποῦμε, Θεόδωρε; Ἐφόσον, ἂν γιὰ τὸν καθένα ἀληθὲς εἶναι
αὐτὸ τὸ ὁποῖο πιστεύει μέσω τῆς αἴσθησης, καὶ δὲν μπορεῖ ὁ
ἕνας νὰ διακρίνει καλύτερα αὐτὸ ποὺ νιώθει ὁ ἄλλος, οὔτε νὰ ἐξε-
τάσει μὲ μεγαλύτερη ἐγκυρότητα ὁ ἕνας τὴ γνώμη τοῦ ἄλλου
κατὰ πόσον εἶναι ὀρθὴ ἢ ψευδής, ἐνῶ παράλληλα ἰσχύει αὐτὸ ποὺ
εἰπώθηκε πολλὲς φορές, ὅτι ὁ καθένας διαμορφώνει τὶς πεποι-
θήσεις του μόνος του καὶ πὼς ὅλα αὐτὰ εἶναι ὀρθὰ καὶ ἀληθῆ,
τότε, φίλε μου, γιατί ὁ Πρωταγόρας εἶναι σοφός, ὥστε νὰ ἔχει
δικαιολογημένα τὴν ἀξίωση νὰ κάνει τὸν δάσκαλο σὲ ἄλλους
καὶ νὰ παίρνει μεγάλους μισθούς, ἐνῶ ἐμεῖς εἴμαστε ἐντελῶς
ἀμαθεῖς καὶ συνεπῶς ὑποχρεωμένοι νὰ σπουδάσουμε κοντὰ σὲ
ἐκεῖνον, ὅταν ὁ καθένας μας εἶναι μέτρο τῆς δικῆς του σοφίας;
Μὲ βάση αὐτά, πῶς νὰ μὴν ἰσχυριστοῦμε ὅτι ὁ Πρωταγόρας
μιλάει ἔτσι γιὰ νὰ χαϊδέψει τὰ αὐτιὰ τοῦ κοσμάκη; Ὅσο γιὰ
ἐμένα καὶ τὴ δική μου τέχνη, τὴν μαιευτική, καλύτερα νὰ σω-
πάσω γιὰ τὸ πόσα γέλια μᾶς ἐπιφυλάσσει, καθὼς ἐπίσης, θαρ-
ρῶ, καὶ γιὰ τὴν ἐνασχόληση μὲ τὴ διαλεκτικὴ στὸ σύνολό της.
Ἀφοῦ τὸ νὰ ἐξετάζει κανεὶς καὶ νὰ ἐπιχειρεῖ νὰ ἐλέγξει τὶς ἀν-
τιλήψεις καὶ τὶς πεποιθήσεις τοῦ ἄλλου, ὅταν ὁλωνῶν εἶναι ὀρ-
θές, δὲν θὰ ἦταν παρὰ μακρόσυρτη καὶ παραφουσκωμένη φλυα-
ρία, ἐφόσον ἦταν ἀληθὴς ἡ Ἀλήθεια τοῦ Πρωταγόρα καὶ ἂν δὲν
παρέδιδε τοὺς χρησμούς της ἀπὸ τὸ ἄδυτο τοῦ βιβλίου του ὡς
ἀστεῖο.

ΘΕΟ. Σωκράτη, πρόκειται γιὰ ἀγαπητό μου ἄνθρωπο, ὅπως
καὶ ἐσὺ τὸ εἶπες μόλις πρίν. Δὲν θὰ ἀποδεχόμουν λοιπὸν νὰ ἐ-
λεγχθεῖ ὁ Πρωταγόρας μὲ βάση τὶς δικές μου παραδοχές, ἀλλὰ
οὔτε καὶ νὰ σοῦ προβάλω ἀντιρρήσεις ἀντίθετες ἀπὸ αὐτὰ ποὺ
πιστεύω. Ἀνάλαβε λοιπὸν πάλι τὸν Θεαίτητο. Ἄλλωστε ὡς τώ-
ρα ἔχει ἀνταποκριθεῖ πολὺ καλὰ στὴ συζήτηση μαζί σου.

ΣΩ. Ἂν βρισκόσουν στὴ Λακεδαίμονα, Θεόδωρε, καὶ πήγαι-
νες στὶς παλαῖστρες ἐκεῖ, θὰ τὸ θεωροῦσες σωστὸ νὰ δεῖς τοὺς

παλαίστρας ἀξιοῖς ἂν ἄλλους θεώμενος γυμνούς, ἐνίους φαύλους, αὐτὸς μὴ ἀντεπιδεικνύναι τὸ εἶδος παραποδυόμενος;

ΘΕΟ. Ἀλλὰ τί μὴν δοκεῖς, εἴπερ μέλλοιέν μοι ἐπιτρέψειν καὶ πείσεσθαι; ὥσπερ νῦν οἶμαι ὑμᾶς πείσειν ἐμὲ μὲν ἐᾶν θεᾶσθαι καὶ μὴ ἕλκειν πρὸς τὸ γυμνάσιον σκληρὸν ἤδη ὄντα, τῷ δὲ δὴ νεωτέρῳ τε καὶ ὑγροτέρῳ ὄντι προσπαλαίειν.

ΣΩ. Ἀλλ' εἰ οὕτως, ὦ Θεόδωρε, σοὶ φίλον, οὐδ' ἐμοὶ ἐχθρόν, φασὶν οἱ παροιμιαζόμενοι. πάλιν δὴ οὖν ἐπὶ τὸν σοφὸν Θεαίτητον ἰτέον. λέγε δή, ὦ Θεαίτητε, πρῶτον μὲν ἃ νυνδὴ διήλθομεν, ἆρα οὐ σὺ θαυμάζεις εἰ ἐξαίφνης οὕτως ἀναφανήσῃ μηδὲν χείρων εἰς σοφίαν ὁτουοῦν ἀνθρώπων ἢ καὶ θεῶν; ἢ ἧττόν τι οἴει τὸ Πρωταγόρειον μέτρον εἰς θεοὺς ἢ εἰς ἀνθρώπους λέγεσθαι;

ΘΕΑΙ. Μὰ Δί' οὐκ ἔγωγε· καὶ ὅπερ γε ἐρωτᾷς, πάνυ θαυμάζω. ἡνίκα γὰρ διῆμεν ὃν τρόπον λέγοιεν τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ εἶναι τῷ δοκοῦντι, πάνυ μοι εὖ ἐφαίνετο λέγεσθαι· νῦν δὲ τοὐναντίον τάχα μεταπέπτωκεν.

ΣΩ. Νέος γὰρ εἶ, ὦ φίλε παῖ· τῆς οὖν δημηγορίας ὀξέως ὑπακούεις καὶ πείθῃ. πρὸς γὰρ ταῦτα ἐρεῖ Πρωταγόρας ἤ τις ἄλλος ὑπὲρ αὐτοῦ· "Ὦ γενναῖοι παῖδές τε καὶ γέροντες, δημηγορεῖτε συγκαθεζόμενοι, θεούς τε εἰς τὸ μέσον ἄγοντες, οὓς ἐγὼ ἔκ τε τοῦ λέγειν καὶ τοῦ γράφειν περὶ αὐτῶν ὡς εἰσὶν ἢ ὡς οὐκ εἰσίν, ἐξαιρῶ, καὶ ἃ οἱ πολλοὶ ἂν ἀποδέχοιντο ἀκούοντες, λέγετε ταῦτα, ὡς δεινὸν εἰ μηδὲν διοίσει εἰς σοφίαν ἕκαστος τῶν ἀν-

ἄλλους νὰ ἀγωνίζονται γυμνοί, μερικοὶ ἀπὸ αὐτοὺς ἀδέξια, χωρὶς ἐσὺ ὁ ἴδιος νὰ ἐπιδείξεις τὶς ἱκανότητές σου μὲ τὸ νὰ ξεγυμνωθεῖς καὶ νὰ παλέψεις;

ΘΕΟ. Καὶ τί νομίζεις πὼς θὰ ἔκανα, ἂν τοὺς ἔπειθα καὶ μοῦ ἐπέτρεπαν νὰ τοὺς παρατηρῶ; Ὅπως ἀκριβῶς προσδοκῶ νὰ σᾶς πείσω νὰ μὲ ἀφήσετε νὰ παρακολουθήσω τὴ συζήτηση χωρὶς νὰ μὲ τραβᾶτε νὰ πάρω μέρος στὸν ἀγώνα, ἐφόσον εἶμαι πιὰ μᾶλλον δυσκίνητος, ἀλλὰ νὰ παλέψεις ἐσὺ μὲ κάποιον νεότερο καὶ πιὸ εὐκίνητο ἀντίπαλο.

ΣΩ. Δὲν ἔχω ἀντίρρηση, Θεόδωρε, ἂν ἔτσι τὸ προτιμᾶς. Διότι, ὅπως τὸ λέει ἡ παροιμία, «αὐτὸ ποὺ ἐσὺ ἀγαπᾶς δὲν εἶναι ἐχθρὸς γιὰ 'μένα». Ἂς στραφῶ λοιπὸν καὶ πάλι στὸν σοφὸ Θεαίτητο.[32]

Πές μου, τώρα, Θεαίτητε, πρῶτα-πρῶτα γι' αὐτὸ ποὺ λέγαμε: Δὲν σοῦ προξενεῖ κατάπληξη τὸ ὅτι ἔτσι ξαφνικὰ θὰ ἀναδειχθεῖς ὅτι δὲν ὑστερεῖς σὲ σοφία ἀπὸ ὁποιονδήποτε ἄνθρωπο ἢ θεό; Διότι δὲν φαντάζομαι νὰ θεωρεῖς ὅτι τὸ «μέτρο» τοῦ Πρωταγόρα ἀφορᾶ πιὸ πολὺ τοὺς ἀνθρώπους ἀπ' ὅ,τι τοὺς θεούς.

ΘΕΑΙ. Ὄχι, βέβαια. Καί, γιὰ νὰ ἀπαντήσω σὲ αὐτὸ ποὺ ρωτᾶς, πράγματι μοῦ προξενεῖ μεγάλη κατάπληξη. Διότι προηγουμένως, ὅταν συζητούσαμε μὲ ποιόν τρόπο ἐννοεῖται τὸ ὅτι, αὐτὸ ποὺ πιστεύει κάποιος, αὐτὸ ἰσχύει γι' αὐτὸν ποὺ τὸ πιστεύει, μοῦ φάνηκε πολὺ καλὰ εἰπωμένο. Τώρα ὅμως, μέσα σὲ πολὺ λίγο χρόνο ἀναποδογύρισε.

ΣΩ. Εἶναι ἐπειδὴ εἶσαι νέος, φίλε μου. Ἔτσι, εὐθὺς μόλις ἀκούσεις μιὰ ὡραία ὁμιλία, ἀμέσως τὴν ἀποδέχεσαι καὶ πείθεσαι ἀπὸ αὐτήν. Ἀλλὰ ὁ Πρωταγόρας ἢ ὁ ἐκπρόσωπός του θὰ ἔχει τὴν ἑξῆς ἀπάντηση: «Ἐ, καλά μου παιδιὰ καὶ γέροντες, ἐσεῖς κάθεστε καὶ ἀνταλλάσσετε ὡραῖες κουβέντες, φέρνοντας στὴ συζήτηση τοὺς θεούς —τοὺς ὁποίους, γιὰ τὸ ἂν ὑπάρχουν ἢ δὲν ὑπάρχουν, ἐγὼ τοὺς ἀφήνω ἀπ' ἔξω τόσο στοὺς λόγους ὅσο καὶ στὰ γραπτά μου—, καὶ αὐτὰ ποὺ λέτε βασίζονται σὲ ὅσα ἀποδέχεται ὁ πολὺς κόσμος: ὅτι τάχα εἶναι κάτι φοβερὸ τὸ νὰ μὴν διαφέρει καθόλου ὡς πρὸς τὴ σοφία του ὁ κάθε τυχὼν

θρώπων βοσκήματος ὁτουοῦν· ἀπόδειξιν δὲ καὶ ἀνάγκην οὐδ' ἡντινοῦν λέγετε, ἀλλὰ τῷ εἰκότι χρῆσθε, ᾧ εἰ ἐθέλοι Θεόδωρος ἢ ἄλλος τις τῶν γεωμετρῶν χρώμενος γεωμετρεῖν, ἄξιος οὐδ' ἑνὸς μόνου ἂν εἴη. σκοπεῖτε οὖν σύ τε καὶ Θεόδωρος εἰ ἀποδέ-
163 ξεσθε πιθανολογίᾳ τε καὶ εἰκόσι περὶ τηλικούτων λεγομένους λόγους."

ΘΕΑΙ. Ἀλλ' οὐ δίκαιον, ὦ Σώκρατες, οὔτε σὺ οὔτε ἂν ἡμεῖς φαῖμεν.

ΣΩ. Ἄλλῃ δὴ σκεπτέον, ὡς ἔοικεν, ὡς ὅ τε σὸς καὶ ὁ Θεοδώρου λόγος.

ΘΕΑΙ. Πάνυ μὲν οὖν ἄλλῃ.

ΣΩ. Τῇδε δὴ σκοπῶμεν εἰ ἄρα ἐστὶν ἐπιστήμη τε καὶ αἴσθησις ταὐτὸν ἢ ἕτερον. εἰς γὰρ τοῦτό που πᾶς ὁ λόγος ἡμῖν ἔτεινεν, καὶ τούτου χάριν τὰ πολλὰ καὶ ἄτοπα ταῦτα ἐκινήσαμεν. οὐ γάρ;

ΘΕΑΙ. Παντάπασι μὲν οὖν.

b ΣΩ. Ἦ οὖν ὁμολογήσομεν, ἃ τῷ ὁρᾶν αἰσθανόμεθα ἢ τῷ ἀκούειν, πάντα ταῦτα ἅμα καὶ ἐπίστασθαι; οἷον τῶν βαρβάρων πρὶν μαθεῖν τὴν φωνὴν πότερον οὐ φήσομεν ἀκούειν ὅταν φθέγγωνται, ἢ ἀκούειν τε καὶ ἐπίστασθαι ἃ λέγουσι; καὶ αὖ γράμματα μὴ ἐπιστάμενοι, βλέποντες εἰς αὐτὰ πότερον οὐχ ὁρᾶν ἢ ἐπίστασθαι εἴπερ ὁρῶμεν διισχυριούμεθα;

ΘΕΑΙ. Αὐτό γε, ὦ Σώκρατες, τοῦτο αὐτῶν, ὅπερ ὁρῶμέν τε καὶ ἀκούομεν, ἐπίστασθαι φήσομεν· τῶν μὲν γὰρ τὸ σχῆμα καὶ τὸ χρῶμα ὁρᾶν τε καὶ ἐπίστασθαι, τῶν δὲ τὴν ὀξύτητα καὶ βα-
c ρύτητα ἀκούειν τε ἅμα καὶ εἰδέναι· ἃ δὲ οἵ τε γραμματισταὶ περὶ αὐτῶν καὶ οἱ ἑρμηνῆς διδάσκουσιν, οὔτε αἰσθάνεσθαι τῷ ὁρᾶν ἢ ἀκούειν οὔτε ἐπίστασθαι.

---

e7-8 οὐδ' ἑνὸς schol.: οὐδενὸς **c** Narcy

ἄνθρωπος ἀπὸ ἕνα οἰκόσιτο ζῶο. Ἀλλὰ δὲν προσκομίζετε κανενὸς εἴδους ἀπόδειξη ἢ ὑποχρεωτικὸ ἐπιχείρημα, καὶ χρησιμοποιεῖτε μόνον εἰκασίες. Ἂν ὁ Θεόδωρος ἢ κάποιος ἄλλος γεωμέτρης ἐπιχειροῦσε μὲ τέτοιες μεθόδους νὰ κάνει γεωμετρία, δὲν θὰ ἄξιζε νὰ βαθμολογηθεῖ οὔτε μὲ μονάδα. Ὁπότε ἐσὺ καὶ ὁ Θεόδωρος θὰ πρέπει νὰ τὸ σκεφτεῖτε σοβαρά, ἂν θὰ ἀποδεχθεῖτε τὴν ἐπιχειρηματολογία μὲ βάση πιθανότητες καὶ τὴν εὐλογοφάνεια προκειμένου γιὰ τόσο σοβαρὰ ζητήματα».

ΘΕΑΙ. Μά, Σωκράτη, οὔτε ἐσὺ οὔτε ἐγὼ θὰ λέγαμε ὅτι εἶναι σωστὸ κάτι τέτοιο.

ΣΩ. Κατὰ τὴν ἄποψή σας, λοιπόν, ἐσένα καὶ τοῦ Θεόδωρου, θὰ πρέπει νὰ ἐξετάσουμε τὸ θέμα μὲ ἄλλον τρόπο;

ΘΕΑΙ. Ἀσφαλῶς μὲ ἄλλον τρόπο.

ΣΩ. Ἂς ἐξετάσουμε λοιπὸν μὲ τὸν παρακάτω τρόπο τὸ κατὰ πόσον ἡ γνώση καὶ ἡ αἴσθηση ταυτίζονται ἢ διαφέρουν. Διότι πρὸς αὐτὸ κατέτεινε ὅλη μας ἡ συζήτηση —ἔτσι δὲν εἶναι;— καὶ εἶναι πρὸς χάρη του ποὺ φέραμε στὴν ἐπιφάνεια ὅλες αὐτὲς τὶς πολλὲς καὶ παράδοξες ἀπόψεις.

ΘΕΑΙ. Βεβαιότατα.

ΣΩ. Θὰ συμφωνήσουμε λοιπὸν πὼς ὅσα αἰσθανόμαστε μὲ τὴν ὅραση καὶ μὲ τὴν ἀκοή, ὅλα αὐτὰ τὰ γνωρίζουμε κιόλας; Μιὰ ξένη γλώσσα, γιὰ παράδειγμα, πρὶν νὰ τὴ μάθουμε, θὰ ποῦμε ὅτι δὲν τὴν ἀκοῦμε ὅταν τὴν μιλοῦν, ἢ ὅτι καὶ τὴν ἀκοῦμε καὶ γνωρίζουμε ὅσα λένε; Καὶ ἐπίσης, ἂν δὲν γνωρίζουμε τὴ γραφή της, ὅταν τὴν βλέπουμε θὰ ποῦμε ὅτι δὲν τὴν βλέπουμε, ἢ θὰ ἰσχυριστοῦμε ὅτι ἐφόσον τὴν βλέπουμε τὴν γνωρίζουμε κιόλας;

ΘΕΑΙ. Θὰ ποῦμε, Σωκράτη, ὅτι γνωρίζουμε ἀπὸ τοῦτα ἐκεῖνο τὸ ὁποῖο βλέπουμε καὶ ἀκοῦμε. Ἐφόσον ἀπὸ τὰ μὲν βλέπουμε καὶ γνωρίζουμε τὸ σχῆμα καὶ τὸ χρῶμα τους, ἐνῶ ἀπὸ τὰ δὲ ἀκοῦμε καὶ συνάμα γνωρίζουμε τὴν ὀξύτητα καὶ τὴ βαρύτητα τοῦ ἤχου τους. Ὅμως ἐκεῖνα τὰ ὁποῖα διδάσκουν γι' αὐτὰ οἱ γραμματικοὶ καὶ οἱ ἑρμηνευτές τους οὔτε τὰ αἰσθανόμαστε οὔτε τὰ γνωρίζουμε μὲ βάση τὴν ὅραση καὶ τὴν ἀκοή μας.

ΣΩ. Ἀριστά γ', ὦ Θεαίτητε, καὶ οὐκ ἄξιόν σοι πρὸς ταῦτα ἀμφισβητῆσαι, ἵνα καὶ αὐξάνῃ. ἀλλ' ὅρα δὴ καὶ τόδε ἄλλο προσιόν, καὶ σκόπει πῇ αὐτὸ διωσόμεθα.

ΘΕΑΙ. Τὸ ποῖον δή;

ΣΩ. Τὸ τοιόνδε· εἴ τις ἔροιτο· "Ἆρα δυνατὸν ὅτου τις ἐπιστήμων γένοιτό ποτε, ἔτι ἔχοντα μνήμην αὐτοῦ τούτου καὶ σῳζόμενον, τότε ὅτε μέμνηται μὴ ἐπίστασθαι αὐτὸ τοῦτο ὃ μέμνηται;" μακρολογῶ δέ, ὡς ἔοικε, βουλόμενος ἐρέσθαι εἰ μαθών τίς τι μεμνημένος μὴ οἶδε.

ΘΕΑΙ. Καὶ πῶς, ὦ Σώκρατες; τέρας γὰρ ἂν εἴη ὃ λέγεις.

ΣΩ. Μὴ οὖν ἐγὼ λῃρῶ; σκόπει δέ. ἆρα τὸ ὁρᾶν οὐκ αἰσθάνεσθαι λέγεις καὶ τὴν ὄψιν αἴσθησιν;

ΘΕΑΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν ὁ ἰδών τι ἐπιστήμων ἐκείνου γέγονεν ὃ εἶδεν κατὰ τὸν ἄρτι λόγον;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τί δέ; μνήμην οὐ λέγεις μέντοι τι;

ΘΕΑΙ. Ναί.

ΣΩ. Πότερον οὐδενὸς ἢ τινός;

ΘΕΑΙ. Τινὸς δήπου.

ΣΩ. Οὐκοῦν ὧν ἔμαθε καὶ ὧν ᾔσθετο, τοιουτωνί τινων;

ΘΕΑΙ. Τί μήν;

ΣΩ. Ὃ δὴ εἶδέ τις, μέμνηταί που ἐνίοτε;

ΘΕΑΙ. Μέμνηται.

ΣΩ. Ἢ καὶ μύσας; ἢ τοῦτο δράσας ἐπελάθετο;

ΘΕΑΙ. Ἀλλὰ δεινόν, ὦ Σώκρατες, τοῦτό γε φάναι.

ΣΩ. Δεῖ γε μέντοι, εἰ σώσομεν τὸν πρόσθε λόγον· εἰ δὲ μή, οἴχεται.

a1 σώσομεν Dissen: σώσοιμεν **c**

ΣΩ. Ἔξοχα, Θεαίτητε, καὶ δὲν ἀξίζει νὰ φέρω ἀντιρρήσεις ὡς πρὸς αὐτό, ἔτσι ὥστε νὰ πάρεις κουράγιο.[33] Ἀλλὰ πρόσεξε τὸ ἄλλο χτύπημα ποὺ ἔρχεται καὶ δὲς πῶς θὰ τὸ ἀποκρούσουμε.

ΘΕΑΙ. Ποιό εἶναι αὐτό;

ΣΩ. Τὸ ἑξῆς: ἂν κανεὶς ρωτοῦσε «Εἶναι δυνατὸν ἄραγε κάποιος ὁ ὁποῖος ἔχει ἀποκτήσει γνώση ἑνὸς πράγματος, γιὰ ὅσο ἔχει ἀκόμη καὶ διατηρεῖ τὴ θύμηση ἐκείνου, νὰ μὴ γνωρίζει αὐτὸ ἀκριβῶς τὸ ὁποῖο θυμᾶται ὅταν τὸ θυμᾶται;». Ἐνδεχομένως τὸ διατυπώνω μὲ πολλὰ λόγια, ἀλλὰ αὐτὸ ποὺ θέλω νὰ ρωτήσω εἶναι ἄν, ἐφόσον κάποιος θυμᾶται αὐτὸ ποὺ ἔχει μάθει, μπορεῖ νὰ μὴν τὸ ξέρει.

ΘΕΑΙ. Μὰ πῶς θὰ μποροῦσε, Σωκράτη; Αὐτὸ ποὺ λὲς θὰ ἦταν τερατολόγία.

ΣΩ. Μήπως λέω ἀνοησίες; Κοίταξε ὅμως: δὲν λὲς ὅτι τὸ νὰ βλέπει κάποιος ἀποτελεῖ αἴσθηση καὶ ὅτι ἡ ὅραση εἶναι αἰσθητηριακὸ ἐνέργημα;

ΘΕΑΙ. Ἀσφαλῶς.

ΣΩ. Ἑπομένως, σύμφωνα μὲ αὐτὸ ποὺ μόλις εἴπαμε, αὐτὸς ποὺ βλέπει κάτι δὲν θὰ εἶναι γνώστης ἐκείνου τὸ ὁποῖο εἶδε;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τί τώρα, δὲν λὲς ὅμως ὅτι ἡ μνήμη εἶναι κάτι;

ΘΕΑΙ. Ναί.

ΣΩ. Ποὺ ἀφορᾶ σὲ κάτι ἢ σὲ τίποτα;

ΘΕΑΙ. Σὲ κάτι, βέβαια.

ΣΩ. Ἄραγε σὲ ὅσα ἔμαθε καὶ ὅσα αἰσθάνθηκε κανείς — κάποια τέτοια πράγματα;

ΘΕΑΙ. Τί ἄλλο;

ΣΩ. Καὶ ὅσα εἶδε κανείς, τὰ θυμᾶται κάποιες φορές;

ΘΕΑΙ. Τὰ θυμᾶται.

ΣΩ. Ἀκόμη καὶ ὅταν κλείσει τὰ μάτια; Ἢ μήπως ὅταν τὸ κάνει αὐτὸ τὰ ξεχνάει;

ΘΕΑΙ. Ὄχι, Σωκράτη. Αὐτὸ θὰ ἦταν ἐντελῶς παράδοξο νὰ τὸ ἰσχυριστεῖ κανείς.

ΣΩ. Θὰ πρέπει, ὡστόσο, ἂν εἶναι νὰ περισώσουμε ἐκεῖνο ποὺ εἰπώθηκε προηγουμένως. Ἀφοῦ ἀλλιῶς αὐτὸ πάει περίπατο.

ΘΕΑΙ. Καὶ ἐγώ, νὴ τὸν Δία, ὑποπτεύω, οὐ μὴν ἱκανῶς γε συννοῶ· ἀλλ' εἰπὲ πῇ.

ΣΩ. Τῇδε· ὁ μὲν ὁρῶν ἐπιστήμων, φαμέν, τούτου γέγονεν οὗπερ ὁρῶν· ὄψις γὰρ καὶ αἴσθησις καὶ ἐπιστήμη ταὐτὸν ὡμολόγηται.

ΘΕΑΙ. Πάνυ γε.

ΣΩ. Ὁ δέ γε ὁρῶν καὶ ἐπιστήμων γεγονὼς οὖ ἑώρα, ἐὰν μύσῃ, μέμνηται μέν, οὐχ ὁρᾷ δὲ αὐτό. ἦ γάρ;

ΘΕΑΙ. Ναί.

b ΣΩ. Τὸ δέ γε "οὐχ ὁρᾷ" "οὐκ ἐπίσταταί" ἐστιν, εἴπερ καὶ τὸ "ὁρᾷ" "ἐπίσταται."

ΘΕΑΙ. Ἀληθῆ.

ΣΩ. Συμβαίνει ἄρα, οὗ τις ἐπιστήμων ἐγένετο, ἔτι μεμνημένον αὐτὸν μὴ ἐπίστασθαι, ἐπειδὴ οὐχ ὁρᾷ· ὃ τέρας ἔφαμεν ἂν εἶναι εἰ γίγνοιτο.

ΘΕΑΙ. Ἀληθέστατα λέγεις.

ΣΩ. Τῶν ἀδυνάτων δή τι συμβαίνειν φαίνεται ἐάν τις ἐπιστήμην καὶ αἴσθησιν ταὐτὸν φῇ εἶναι.

ΘΕΑΙ. Ἔοικεν.

ΣΩ. Ἄλλο ἄρα ἑκάτερον φατέον.

ΘΕΑΙ. Κινδυνεύει.

c ΣΩ. Τί οὖν δῆτ' ἂν εἴη ἐπιστήμη; πάλιν ἐξ ἀρχῆς, ὡς ἔοικεν, λεκτέον. καίτοι τί ποτε μέλλομεν, ὦ Θεαίτητε, δρᾶν;

ΘΕΑΙ. Τίνος πέρι;

ΣΩ. Φαινόμεθά μοι ἀλεκτρυόνος ἀγεννοῦς δίκην πρὶν νενικηκέναι ἀποπηδήσαντες ἀπὸ τοῦ λόγου ἆδειν.

ΘΕΑΙ. Πῶς δή;

ΣΩ. Ἀντιλογικῶς ἐοίκαμεν πρὸς τὰς τῶν ὀνομάτων ὁμολογίας ἀνομολογησάμενοι καὶ τοιούτῳ τινὶ περιγενόμενοι τοῦ

ΘΕΑΙ. Τὸ ὑποπτεύομαι καὶ ἐγώ, μά τὸν Δία, ἀλλὰ δὲν τὸ κατανοῶ πλήρως. Πές μου λοιπὸν πῶς γίνεται.

ΣΩ. Ὡς ἑξῆς: αὐτὸς ποὺ βλέπει θὰ εἶναι, κατὰ τὴν ἄποψή μας, γνώστης ἐκείνου τὸ ὁποῖο βλέπει. Ἀφοῦ, ὅπως συμφωνήσαμε, ὅραση, αἴσθηση καὶ γνώση εἶναι τὸ ἴδιο πράγμα.

ΘΕΑΙ. Βεβαίως.

ΣΩ. Ὡστόσο, αὐτὸς ποὺ βλέπει καὶ εἶναι γνώστης, ὅταν κλείσει τὰ μάτια, δὲν βλέπει ἀλλὰ θυμᾶται, ποὺ δὲν εἶναι τὸ ἴδιο μὲ τὸ νὰ βλέπει. Ἔτσι δὲν εἶναι;

ΘΕΑΙ. Ναί.

ΣΩ. Ὅμως τὸ ὅτι 'δὲν βλέπει' σημαίνει ὅτι 'δὲν γνωρίζει', ἐφόσον τὸ 'βλέπει' θὰ πεῖ 'γνωρίζει'.

ΘΕΑΙ. Ἀλήθεια.

ΣΩ. Ἔπεται, συνεπῶς, ὅτι κάτι τὸ ὁποῖο κάποιος τὸ ἔχει γνωρίσει, δὲν τὸ γνωρίζει ἐνόσω ἀκόμη τὸ θυμᾶται, ἐφόσον δὲν τὸ βλέπει. Πράγμα πού, ὅπως εἴπαμε, θὰ ἀποτελοῦσε παραδοξολογία, ἂν ἴσχυε.

ΘΕΑΙ. Αὐτὸ ποὺ λὲς εἶναι ἀπολύτως ἀληθές.

ΣΩ. Φαίνεται, ἑπομένως, ὅτι ὑπάρχουν συνέπειες ποὺ εἶναι ἀδύνατες, ἂν ἰσχυριστεῖ κάποιος ὅτι ἡ γνώση καὶ ἡ αἴσθηση εἶναι τὸ ἴδιο.

ΘΕΑΙ. Ἔτσι φαίνεται.

ΣΩ. Ἄρα θὰ πρέπει νὰ ὑποθέσουμε ὅτι τὸ καθένα τους εἶναι κάτι διαφορετικό.

ΘΕΑΙ. Ἔτσι μοιάζει.[34]

ΣΩ. Θὰ πρέπει, λοιπόν, νὰ ποῦμε πάλι ἀπὸ τὴν ἀρχὴ τί μπορεῖ νὰ εἶναι ἡ γνώση. Τί θὰ πρέπει νὰ κάνουμε τώρα, Θεαίτητε;

ΘΕΑΙ. Ὅσον ἀφορᾶ τί;

ΣΩ. Μοῦ φαίνεται ὅτι συμπεριφερθήκαμε στὸ ἐπιχείρημα σὰν τὸν κακομαθημένο πετεινὸ πού, προτοῦ νὰ νικήσει στὸν ἀγώνα, πηδάει ἔξω ἀπὸ τὸ γήπεδο καὶ ἀρχίζει νὰ κράζει.

ΘΕΑΙ. Πῶς αὐτό;

ΣΩ. Φαίνεται πὼς ὑπερισχύσαμε ἀπέναντι στὴ θεωρία ἀρκούμενοι στὸ νὰ χρησιμοποιήσουμε τὴν τεχνικὴ τῆς ἀντιλογίας,

λόγου ἀγαπᾶν, καὶ οὐ φάσκοντες ἀγωνισταὶ ἀλλὰ φιλόσοφοι
d εἶναι λανθάνομεν ταὐτὰ ἐκείνοις τοῖς δεινοῖς ἀνδράσιν ποιοῦντες.

ΘΕΑΙ. Οὔπω μανθάνω ὅπως λέγεις.

ΣΩ. Ἀλλ' ἐγὼ πειράσομαι δηλῶσαι περὶ αὐτῶν ὅ γε δὴ νοῶ.
5 ἠρόμεθα γὰρ δὴ εἰ μαθὼν καὶ μεμνημένος τίς τι μὴ ἐπίσταται,
καὶ τὸν ἰδόντα καὶ μύσαντα μεμνημένον ὁρῶντα δὲ οὔ ἀποδείξαντες, οὐκ εἰδότα ἀπεδείξαμεν καὶ ἅμα μεμνημένον· τοῦτο δ' εἶναι ἀδύνατον. καὶ οὕτω δὴ μῦθος ἀπώλετο ὁ Πρωταγόρειος,
καὶ ὁ σὸς ἅμα ὁ τῆς ἐπιστήμης καὶ αἰσθήσεως ὅτι ταὐτόν ἐστιν.

e ΘΕΑΙ. Φαίνεται.

ΣΩ. Οὔ τι ἄν, οἶμαι, ὦ φίλε, εἴπερ γε ὁ πατὴρ τοῦ ἑτέρου μύθου ἔζη, ἀλλὰ πολλὰ ἂν ἤμυνε· νῦν δὲ ὀρφανὸν αὐτὸν ἡμεῖς προπηλακίζομεν. καὶ γὰρ οὐδ' οἱ ἐπίτροποι, οὓς Πρωταγόρας
5 κατέλιπεν, βοηθεῖν ἐθέλουσιν, ὧν Θεόδωρος εἷς ὅδε. ἀλλὰ δὴ αὐτοὶ κινδυνεύσομεν τοῦ δικαίου ἕνεκ' αὐτῷ βοηθεῖν.

ΘΕΟ. Οὐ γὰρ ἐγώ, ὦ Σώκρατες, ἀλλὰ μᾶλλον Καλλίας ὁ
165 Ἱππονίκου τῶν ἐκείνου ἐπίτροπος· ἡμεῖς δέ πως θᾶττον ἐκ τῶν ψιλῶν λόγων πρὸς τὴν γεωμετρίαν ἀπενεύσαμεν. χάριν γε μέντοι σοὶ ἔξομεν ἐὰν αὐτῷ βοηθῇς.

ΣΩ. Καλῶς λέγεις, ὦ Θεόδωρε. σκέψαι οὖν τήν γ' ἐμὴν βοή-
5 θειαν. τῶν γὰρ ἄρτι δεινότερα ἄν τις ὁμολογήσειεν μὴ προσέχων τοῖς ῥήμασι τὸν νοῦν, ἢ τὸ πολὺ εἰθίσμεθα φάναι τε καὶ ἀπαρνεῖσθαι. σοὶ λέγω ὅπῃ, ἢ Θεαιτήτῳ.

ΘΕΟ. Εἰς τὸ κοινὸν μὲν οὖν, ἀποκρινέσθω δὲ ὁ νεώτερος·
b σφαλεὶς γὰρ ἧττον ἀσχημονήσει.

βασιζόμενοι στὶς λεκτικὲς συνέπειες ὅσων ἔχουν συμφωνηθεῖ. Καὶ πώς, ἐνῶ ἰσχυριζόμαστε ὅτι δὲν εἴμαστε ἀθλητὲς ποὺ ἀγωνίζονται ἀλλὰ φιλόσοφοι, ξεχαστήκαμε καὶ κάναμε τὰ ἴδια μὲ ἐκείνους τοὺς παλικαράδες τῶν λόγων.

ΘΕΑΙ. Δὲν καταλαβαίνω πῶς τὸ ἐννοεῖς αὐτό.

ΣΩ. Ἐγὼ λοιπὸν θὰ προσπαθήσω νὰ σοῦ φανερώσω τί ἐννοῶ σχετικὰ μὲ αὐτὸ τὸ ζήτημα. Θέσαμε, ποὺ λές, τὸ ἐρώτημα ἂν κάποιος ποὺ ἔχει μάθει καὶ θυμᾶται κάτι τὸ γνωρίζει καί, ὑποδεικνύοντας ὅτι ἐκεῖνος ποὺ ἔχει δεῖ καί, ἀφοῦ κλείσει τὰ μάτια του, θυμᾶται ἀλλὰ δὲν βλέπει πιά, καταλήξαμε ὅτι αὐτὸς δὲν γνωρίζει καὶ συνάμα θυμᾶται. Ἀλλὰ τοῦτο εἶναι ἀδύνατον. Ἔτσι λοιπόν, ἡ ἱστορία ποὺ μᾶς εἶπε ὁ Πρωταγόρας καὶ ἐσὺ μαζί του, ὅτι ἡ γνώση καὶ ἡ αἴσθηση ταυτίζονται, πῆγε στὸν βρόντο.

ΘΕΑΙ. Ἔτσι φαίνεται.

ΣΩ. Δὲν θὰ ἦταν ἔτσι θαρρῶ, φίλε μου, ἂν ὁ πατέρας ἐκείνης τῆς ἱστορίας ἦταν ἀκόμη ζωντανός. Τότε θὰ προέβαλλε σθεναρὴ ἀντίσταση. Ἐνῶ ἐμεῖς τώρα βρήκαμε τὸ ὀρφανὸ καὶ τὸ κακομεταχειριζόμαστε. Ἀλλὰ οὔτε οἱ ἐπίτροποι ποὺ ἄφησε πίσω του ὁ Πρωταγόρας, ὅπως εἶναι τοῦτος ἐδῶ ὁ Θεόδωρος, προθυμοποιοῦνται νὰ βοηθήσουν. Μολαταῦτα, ἐμεῖς οἱ ἴδιοι θὰ προσπαθήσουμε νὰ τοῦ προσφέρουμε βοήθεια ὥστε νὰ εἴμαστε δίκαιοι.

ΘΕΟ. Δὲν εἶμαι ἐγώ, Σωκράτη, ἐπίτροπος τῶν ὑποθέσεών του, ἀλλὰ μᾶλλον ὁ Καλλίας, ὁ γιὸς τοῦ Ἱππονίκου. Ἀφοῦ ἐγὼ ἀπὸ ἀρκετὰ νωρὶς στράφηκα ἀπὸ τὶς ἀφηρημένες συζητήσεις πρὸς τὴ γεωμετρία. Ὁπωσδήποτε πάντως, θὰ σοῦ χρωστοῦμε χάρη ἂν τοῦ προσφέρεις βοήθεια.

ΣΩ. Καλὰ τὰ λές, Θεόδωρε. Πρόσεξε λοιπὸν νὰ δεῖς τὴ βοήθειά μου. Διότι κάποιος μπορεῖ νὰ ὁδηγηθεῖ σὲ ἀκόμη πιὸ ἀπίθανα συμπεράσματα ἀπὸ αὐτὰ ποὺ εἴδαμε, ἂν δὲν προσέξει ὥστε τὰ λόγια του νὰ συμφωνοῦν μὲ τὴ σκέψη του, μιὰ καὶ οἱ καταφάσεις μας καὶ οἱ ἀρνήσεις μας πολλὲς φορὲς γίνονται ἀπὸ συνήθεια. Νὰ μιλάω μὲ ἐσένα, λοιπόν, ἢ μὲ τὸν Θεαίτητο;

ΘΕΟ. Καὶ στοὺς δύο, ἀλλὰ θὰ ἀποκρίνεται ὁ νεότερος. Διότι, ἂν κάνει κάποιο σφάλμα, θὰ εἶναι λιγότερο ἄπρεπο.

ΣΩ. Λέγω δὴ τὸ δεινότατον ἐρώτημα, ἔστι δὲ οἶμαι τοιόνδε τι· "Ἆρα οἷόν τε τὸν αὐτὸν εἰδότα τι τοῦτο ὃ οἶδεν μὴ εἰδέναι;"

ΘΕΟ. Τί δὴ οὖν ἀποκρινούμεθα, ὦ Θεαίτητε;

ΘΕΑΙ. Ἀδύνατόν που, οἶμαι ἔγωγε.

ΣΩ. Οὔκ, εἰ τὸ ὁρᾶν γε ἐπίστασθαι θήσεις. τί γὰρ χρήσῃ ἀφύκτῳ ἐρωτήματι, τὸ λεγόμενον ἐν φρέατι συσχόμενος, ὅταν ἐρωτᾷ ἀνέκπληκτος ἀνήρ, καταλαβὼν τῇ χειρὶ σοῦ τὸν ἕτερον ὀφθαλμόν, εἰ ὁρᾷς τὸ ἱμάτιον τῷ κατειλημμένῳ;

ΘΕΑΙ. Οὐ φήσω οἶμαι τούτῳ γε, τῷ μέντοι ἑτέρῳ.

ΣΩ. Οὐκοῦν ὁρᾷς τε καὶ οὐχ ὁρᾷς ἅμα ταὐτόν;

ΘΕΑΙ. Οὕτω γέ πως.

ΣΩ. Οὐδὲν ἐγώ, φήσει, τοῦτο οὔτε τάττω οὔτ' ἠρόμην τὸ ὅπως, ἀλλ' εἰ ὃ ἐπίστασαι, τοῦτο καὶ οὐκ ἐπίστασαι. νῦν δὲ ὃ οὐχ ὁρᾷς ὁρῶν φαίνῃ. ὡμολογηκὼς δὲ τυγχάνεις τὸ ὁρᾶν ἐπίστασθαι καὶ τὸ μὴ ὁρᾶν μὴ ἐπίστασθαι. ἐξ οὖν τούτων λογίζου τί σοι συμβαίνει.

ΘΕΑΙ. Ἀλλὰ λογίζομαι ὅτι τἀναντία οἷς ὑπεθέμην.

ΣΩ. Ἴσως δέ γ', ὦ θαυμάσιε, πλείω ἂν τοιαῦτ' ἔπαθες εἴ τίς σε προσηρώτα εἰ ἐπίστασθαι ἔστι μὲν ὀξύ, ἔστι δὲ ἀμβλύ, καὶ ἐγγύθεν μὲν ἐπίστασθαι, πόρρωθεν δὲ μή, καὶ σφόδρα καὶ ἠρέμα τὸ αὐτό, καὶ ἄλλα μυρία, ἃ ἐλλοχῶν ἂν πελταστικὸς ἀνὴρ μισθοφόρος ἐν λόγοις ἐρόμενος, ἡνίκ' ἐπιστήμην καὶ αἴσθησιν ταὐτὸν ἔθου, ἐμβαλὼν ἂν εἰς τὸ ἀκούειν καὶ ὀσφραίνεσθαι καὶ τὰς τοιαύτας αἰσθήσεις, ἤλεγχεν ἂν ἐπέχων καὶ οὐκ ἀνιεὶς πρὶν θαυμάσας τὴν πολυάρατον σοφίαν συνεποδίσθης ὑπ' αὐτοῦ, οὗ

ΣΩ. Θὰ διατυπώσω τώρα τὸ πιὸ σημαντικὸ ἐρώτημα, τὸ ὁποῖο θαρρῶ ὅτι εἶναι τὸ ἑξῆς: «Εἶναι ἄραγε δυνατόν, ὁ ἴδιος αὐτὸς ποὺ γνωρίζει κάτι νὰ μὴ γνωρίζει αὐτὸ ποὺ γνωρίζει;».

ΘΕΟ. Τί θὰ ἀποκριθοῦμε λοιπόν, Θεαίτητε;

ΘΕΑΙ. Πιστεύω ὅτι εἶναι ἀδύνατον.

ΣΩ. Ὄχι, ἂν θεωρεῖς ὅτι τὸ νὰ βλέπεις συνιστᾶ γνώση. Διότι τί θὰ κάνεις ὅταν, ὅπως λέγεται, «βρεθεῖς στριμωγμένος στὸ πηγάδι»; Ὅταν ἕνας ἄνθρωπος βάλει τὸ χέρι του πάνω ἀπὸ τὸ ἕνα σου μάτι καὶ σοῦ θέσει ψύχραιμα τὸ ἀδήριτο ἐρώτημα ἂν βλέπεις τὸ ροῦχο του μὲ τὸ καλυμμένο μάτι.

ΘΕΑΙ. Θὰ τοῦ ἀπαντήσω, ὑποθέτω, ὅτι ἀσφαλῶς ὄχι μὲ αὐτό, ἀλλὰ μὲ τὸ ἄλλο.

ΣΩ. Ὁπότε θὰ βλέπεις καὶ συνάμα δὲν θὰ βλέπεις τὸ ἴδιο πράγμα;

ΘΕΑΙ. Κάπως ἔτσι.

ΣΩ. «Ἐγὼ ὅμως», θὰ σοῦ πεῖ, «δὲν σοῦ ζήτησα οὔτε σὲ ρώτησα τὸ πῶς, ἀλλὰ τὸ ἂν αὐτὸ ποὺ γνωρίζεις αὐτὸ καὶ δὲν γνωρίζεις. Διότι σὲ αὐτὴ τὴν περίπτωση φαίνεται ὅτι δὲν βλέπεις αὐτὸ ποὺ βλέπεις, ἐνῶ ἀπὸ τὴ ἄλλη πλευρὰ ἔχεις συμφωνήσει ὅτι τὸ νὰ βλέπεις εἶναι νὰ γνωρίζεις καὶ τὸ νὰ μὴ βλέπεις νὰ μὴ γνωρίζεις». Ὑπολόγισε λοιπὸν τί προκύπτει λογικὰ ἀπὸ αὐτά.

ΘΕΑΙ. Ὑπολογίζω ὅτι προκύπτει τὸ ἀντίθετο συμπέρασμα ἀπὸ αὐτὰ ποὺ ἔθεσα ὡς ὑπόθεση.

ΣΩ. Ἴσως μάλιστα, ὑπέροχε ἄνθρωπε, θὰ μποροῦσες νὰ πάθεις καὶ ἄλλα τέτοια, ἂν κάποιος σοῦ ἔθετε τὸ ἐρώτημα ἂν ἡ γνώση μπορεῖ νὰ εἶναι ἄλλοτε ὀξεία καὶ ἄλλοτε ἀμβλεία· ἢ ἂν μπορεῖς νὰ γνωρίζεις κάτι ἀπὸ κοντὰ ἀλλὰ ὄχι ἀπὸ μακριά, ἢ τὸ ἴδιο πράγμα ἔντονα καὶ ὄχι ἔντονα — καὶ χίλια δυὸ ἄλλα. Μὲ δεδομένο ὅτι θεωρεῖς πὼς ἡ γνώση καὶ ἡ αἴσθηση εἶναι τὸ ἴδιο πράγμα, ἕνας μισθοφόρος πελταστὴς τῶν λόγων θὰ μποροῦσε νὰ παραμονεύει γιὰ νὰ σὲ βομβαρδίσει μὲ ἐρωτήσεις σχετικὰ μὲ τὴν ἀκοή, τὴν ὄσφρηση καὶ τὶς ἄλλες τέτοιες αἰσθήσεις, καὶ νὰ ἐξακολουθήσει νὰ σοῦ ἀσκεῖ ἔλεγχο δίχως σταματημό, ὡσότου

δή σε χειρωσάμενός τε καὶ συνδήσας ἤδη ἂν τότε ἐλύτρου χρημάτων ὅσων σοί τε κἀκείνῳ ἐδόκει. τίν' οὖν δὴ ὁ Πρωταγόρας,
5 φαίης ἂν ἴσως, λόγον ἐπίκουρον τοῖς αὑτοῦ ἐρεῖ; ἄλλο τι πειρώμεθα λέγειν;

ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Ταῦτά τε δὴ πάντα ὅσα ἡμεῖς ἐπαμύνοντες αὐτῷ λέγο-
166 μεν, καὶ ὁμόσε οἶμαι χωρήσεται καταφρονῶν ἡμῶν καὶ λέγων· "Οὗτος δὴ ὁ Σωκράτης ὁ χρηστός, ἐπειδὴ αὐτῷ παιδίον τι ἐρωτηθὲν ἔδεισεν εἰ οἷόν τε τὸν αὐτὸν τὸ αὐτὸ μεμνῆσθαι ἅμα καὶ μὴ εἰδέναι, καὶ δεῖσαν ἀπέφησεν διὰ τὸ μὴ δύνασθαι προ-
5 ορᾶν, γέλωτα δὴ τὸν ἐμὲ ἐν τοῖς λόγοις ἀπέδειξεν. τὸ δέ, ὦ ῥᾳθυμότατε Σώκρατες, τῇδ' ἔχει· ὅταν τι τῶν ἐμῶν δι' ἐρωτήσεως σκοπῇς, ἐὰν μὲν ὁ ἐρωτηθεὶς οἷάπερ ἂν ἐγὼ ἀποκριναίμην ἀπο-
b κρινάμενος σφάλληται, ἐγὼ ἐλέγχομαι, εἰ δὲ ἀλλοῖα, αὐτὸς ὁ ἐρωτηθείς. αὐτίκα γὰρ δοκεῖς τινά σοι συγχωρήσεσθαι μνήμην παρεῖναί τῳ ὧν ἔπαθε, τοιοῦτόν τι οὖσαν πάθος οἷον ὅτε ἔπασχε, μηκέτι πάσχοντι; πολλοῦ γε δεῖ. ἢ αὖ ἀποκνήσειν ὁμολο-
5 γεῖν οἷόν τ' εἶναι εἰδέναι καὶ μὴ εἰδέναι τὸν αὐτὸν τὸ αὐτό; ἢ ἐάνπερ τοῦτο δείσῃ, δώσειν ποτὲ τὸν αὐτὸν εἶναι τὸν ἀνομοιούμενον τῷ πρὶν ἀνομοιοῦσθαι ὄντι; μᾶλλον δὲ τὸν εἶναί τινα ἀλλ' οὐχὶ τούς, καὶ τούτους γιγνομένους ἀπείρους, ἐάνπερ ἀνο-
c μοίωσις γίγνηται, εἰ δὴ ὀνομάτων γε δεήσει θηρεύσεις διευλα-

ὁ θαυμασμός σου γι' αὐτὴ τὴν ἀνεκτίμητη σοφία σὲ κάνει νὰ βρεθεῖς δεμένος ἀπὸ ἐκεῖνον χεροπόδαρα, ὁπότε αὐτὸς θὰ σὲ συλλάβει, θὰ σὲ μπαγλαρώσει καὶ θὰ ζητάει λύτρα τὰ ὁποῖα θὰ χρειαστεῖ νὰ συμφωνήσετε μεταξύ σας. Θὰ ἀναρωτιέσαι τώρα, ἴσως, ποιό ἐπιχείρημα θὰ ἐπικαλεστεῖ ὁ Πρωταγόρας γιὰ νὰ ὑπερασπιστεῖ τὶς ἀπόψεις του. Νὰ προσπαθήσουμε λοιπὸν νὰ τὸ διατυπώσουμε ἐμεῖς;

ΘΕΑΙ. Βεβαίως![35]

ΣΩ. Ἀσφαλῶς θὰ συγκεντρώσει ὅλα ὅσα εἴπαμε ἤδη πρὸς ὑπεράσπισή του, ἀλλὰ πιστεύω ὅτι ταυτόχρονα θὰ προχωρήσει μιλώντας περιφρονητικὰ γιὰ ἐμᾶς καὶ θὰ πεῖ: «Τοῦτος ἐδῶ εἶναι λοιπὸν ὁ ἀξιότιμος Σωκράτης, ὁ ὁποῖος, βρίσκοντας ἕνα παιδαρέλι ποὺ τρομοκρατήθηκε ὅταν τὸ ρώτησε ἂν εἶναι δυνατὸν ὁ ἴδιος ἄνθρωπος καὶ νὰ θυμᾶται καὶ συνάμα νὰ μὴ γνωρίζει τὸ ἴδιο πράγμα, ὁπότε ἐκεῖνο τὸ ἀρνήθηκε ἔντρομο καθὼς δὲν μποροῦσε νὰ προβλέψει τί ἔπεται, θεώρησε ὅτι μὲ ἔκανε μὲ τὰ λόγια του ἄξιο γιὰ γέλια. Ὅμως, Σωκράτη, ἐνῶ κάνεις τὰ πράγματα νὰ φαίνονται εὔκολα, στὴν πραγματικότητα ἔχουν ὡς ἑξῆς: ὅταν ἐξετάζεις μὲ ἐρωτήσεις κάποια ἀπὸ τὶς ἀπόψεις μου, ἂν μὲν αὐτὸς ποὺ ἀποκρίνεται δώσει ὡς ἀπάντηση αὐτὰ ποὺ θὰ ἀπαντοῦσα ἐγὼ καὶ κάνει κάποιο σφάλμα, τότε ὁ ἔλεγχος ἀφορᾶ ἐμένα, ἂν ὅμως ἀπαντήσει ἀλλιῶς, τότε ἐλέγχεται ἐκεῖνος. Γιὰ παράδειγμα, πιστεύεις ὅτι θὰ βρεθεῖ κανεὶς ποὺ νὰ συμφωνήσει ὅτι κάποιος ποὺ ἔχει μνήμη γιὰ κάτι ποὺ τοῦ συνέβη ἔχει τὴν ἴδια ἐμπειρία ὅπως ὅταν τοῦ συνέβη, ὅτι εἶναι μιὰ ἐμπειρία ὅμοια σὰν ἐκείνην ποὺ εἶχε τότε, ὅταν τώρα δὲν τοῦ συμβαίνει πιά; Μὰ κάθε ἄλλο! Ἢ πάλι, ὅτι κανεὶς θὰ διστάσει νὰ συμφωνήσει πὼς εἶναι δυνατὸν κάποιος νὰ γνωρίζει καὶ νὰ μὴν γνωρίζει αὐτὸς ὁ ἴδιος τὸ ἴδιο πράγμα; Ἢ, ἂν φοβηθεῖ νὰ τὸ πεῖ αὐτό, ὅτι θὰ παραδεχτεῖ ποτὲ πὼς αὐτὸς ποὺ γίνεται ἀνόμοιος εἶναι ὁ ἴδιος μὲ ἐκεῖνον ποὺ ἦταν προτοῦ νὰ γίνει ἀνόμοιος; Ἢ μᾶλλον, ὅτι αὐτὸς εἶναι κάποιος καὶ ὄχι κάποιοι, καθὼς τοῦτοι γίνονται ἄπειροι δεδομένου ὅτι ἐξακολουθεῖ ἡ ἀνομοίωσή τους, ἐφόσον χρειάζεται νὰ εἴμαστε προσεκτικοὶ μεταξύ μας ὅσον ἀφορᾶ τὸ κυνήγι τῶν λέξεων;

βεῖσθαι ἀλλήλων; ἀλλ', ὦ μακάριε," φήσει, "γενναιοτέρως ἐπ' αὐτὸ ἐλθὼν ὃ λέγω, εἰ δύνασαι, ἐξέλεγξον ὡς οὐχὶ ἴδιαι αἰσθήσεις ἑκάστῳ ἡμῶν γίγνονται, ἢ ὡς ἰδίων γιγνομένων οὐδέν τι ἂν μᾶλλον τὸ φαινόμενον μόνῳ ἐκείνῳ γίγνοιτο, ἢ εἰ εἶναι δεῖ ὀνομάζειν, εἴη ᾧπερ φαίνεται· ὗς δὲ δὴ καὶ κυνοκεφάλους λέγων οὐ μόνον αὐτὸς ὑηνεῖς, ἀλλὰ καὶ τοὺς ἀκούοντας τοῦτο δρᾶν εἰς τὰ συγγράμματά μου ἀναπείθεις, οὐ καλῶς ποιῶν. ἐγὼ γάρ φημι μὲν τὴν ἀλήθειαν ἔχειν ὡς γέγραφα· μέτρον γὰρ ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή, μυρίον μέντοι διαφέρειν ἕτερον ἑτέρου αὐτῷ τούτῳ, ὅτι τῷ μὲν ἄλλα ἔστι τε καὶ φαίνεται, τῷ δὲ ἄλλα. καὶ σοφίαν καὶ σοφὸν ἄνδρα πολλοῦ δέω τὸ μὴ φάναι εἶναι, ἀλλ' αὐτὸν τοῦτον καὶ λέγω σοφόν, ὃς ἄν τινι ἡμῶν, ᾧ φαίνεται καὶ ἔστι κακά, μεταβάλλων ποιήσῃ ἀγαθὰ φαίνεσθαί τε καὶ εἶναι. τὸν δὲ λόγον αὖ μὴ τῷ ῥήματί μου δίωκε, ἀλλ' ὧδε ἔτι σαφέστερον μάθε τί λέγω. οἷον γὰρ ἐν τοῖς πρόσθεν ἐλέγετο ἀναμνήσθητι, ὅτι τῷ μὲν ἀσθενοῦντι πικρὰ φαίνεται ἃ ἐσθίει καὶ ἔστι, τῷ δὲ ὑγιαίνοντι τἀναντία ἔστι καὶ φαίνεται. σοφώτερον μὲν οὖν τούτων οὐδέτερον δεῖ ποιῆσαι —οὐδὲ γὰρ δυνατόν— οὐδὲ κατηγορητέον ὡς ὁ μὲν κάμνων ἀμαθὴς ὅτι τοιαῦτα δοξάζει, ὁ δὲ ὑγιαίνων σοφὸς ὅτι ἀλλοῖα, μεταβλητέον δ' ἐπὶ θάτερα· ἀμείνων γὰρ ἡ ἑτέρα ἕξις. οὕτω δὲ καὶ ἐν τῇ παιδείᾳ ἀπὸ ἑτέρας ἕξεως ἐπὶ τὴν ἀμείνω μεταβλητέον· ἀλλ' ὁ μὲν ἰατρὸς φαρμάκοις μεταβάλλει, ὁ δὲ σοφιστὴς λόγοις. ἐπεὶ οὔ τί γε ψευδῆ δοξάζοντά τίς τινα ὕστερον ἀληθῆ ἐποίησε δοξά-

d6 ποιήσῃ Ξ^{ec}: ποιήσει **c**

»Ἀλλὰ ὅμως, μακάριε ἄνθρωπε», θὰ πεῖ, «δεῖξε ἂν μπορεῖς γενναιοφροσύνη μὲ τὸ νὰ ἀντιταχθεῖς σὲ αὐτὸ ποὺ πραγματικὰ λέγω: δεῖξε πὼς σφάλλω ὅταν ἰσχυρίζομαι ὅτι τὰ αἰσθητηριακὰ ἐνεργήματα τοῦ καθενὸς ἀπὸ ἐμᾶς εἶναι ἰδιαίτερα σὲ αὐτόν, ἢ πώς, μὲ δεδομένο ὅτι εἶναι ἰδιαίτερα στὸν καθένα, δὲν ἔπεται ὅτι αὐτὸ ποὺ φαίνεται ἰσχύει —ἢ "εἶναι", ἂν χρειάζεται νὰ τὸ διατυπώσουμε ἔτσι— μόνον γιὰ ἐκεῖνον στὸν ὁποῖο φαίνεται. Μὲ τὸ νὰ μιλᾶς γιὰ χοίρους καὶ γιὰ μπαμπουίνους ὄχι μόνον κατεβάζεις τὸν ἑαυτό σου στὸ ἐπίπεδο τοῦ χοίρου, ἀλλὰ κάνεις καὶ ὅσους ἀκοῦν τὰ συγγράμματά μου νὰ τοὺς συμπεριφέρονται μὲ αὐτὸν τὸν τρόπο, πράγμα ποὺ δὲν εἶναι σωστό. Διότι ἐγὼ ἰσχυρίζομαι ὅτι ἡ ἀλήθεια εἶναι ἔτσι ὅπως τὴν ἔχω καταγράψει. Ὅτι δηλαδὴ ὁ καθένας ἀπὸ ἐμᾶς ἀποτελεῖ τὸ μέτρο γιὰ ὅσα ἰσχύουν καὶ γιὰ ὅσα δὲν ἰσχύουν, ἀλλὰ ὑπάρχει μολονοτοῦτο μεγάλη διαφορὰ ἀνάμεσα στὸν ἕναν καὶ τὸν ἄλλον ἐξαιτίας ἀκριβῶς τοῦ ὅτι γιὰ τὸν ἕναν φαίνονται νὰ ἰσχύουν ἄλλα καὶ γιὰ τὸν ἄλλον ἄλλα.[36] Καὶ δὲν ἰσχυρίζομαι μὲ κανέναν τρόπο ὅτι δὲν ὑπάρχει σοφία ἢ σοφὸς ἄνδρας, ἀλλὰ ἀντιθέτως λέω πὼς εἶναι σοφὸς αὐτὸς ἀκριβῶς ὁ ὁποῖος κάποιον ἀπὸ ἐμᾶς, γιὰ τὸν ὁποῖο φαίνονται νὰ ἰσχύουν τὰ κακά, θὰ τὸν μεταβάλει καὶ θὰ τὸν κάνει νὰ τοῦ φαίνονται καὶ νὰ ἰσχύουν τὰ καλά. Καὶ ὅσον ἀφορᾶ τὴ θεωρία μου, μὴν κολλᾶς στὴ διατύπωση, ἀλλὰ κατάλαβε ἀκόμη σαφέστερα τί ἐννοῶ ἀπὸ τὰ ἑξῆς: διότι θυμήσου αὐτὸ ποὺ εἰπώθηκε νωρίτερα, ὅτι σὲ κάποιον ποὺ νοσεῖ, ὅ,τι τρώει τοῦ φαίνεται πικρὸ καὶ εἶναι κιόλας, ἐνῶ στὸν ὑγιὴ φαίνεται καὶ εἶναι τὸ ἀντίθετο. Δὲν θὰ πρέπει συνεπῶς νὰ θεωρήσουμε ὡς σοφότερο κανέναν ἀπὸ τοὺς δύο —δὲν θὰ ἦταν δυνατὸν ἄλλωστε—, οὔτε θὰ πρέπει νὰ κατηγορήσουμε τὸν ἀσθενὴ ὅτι, ἐπειδὴ πιστεύει κάτι τέτοιο, εἶναι ἀμαθής, ἢ νὰ ποῦμε ὅτι ὁ ὑγιὴς εἶναι σοφὸς ἐπειδὴ πιστεύει κάτι διαφορετικό· ἁπλῶς, αὐτὸ ποὺ χρειάζεται εἶναι νὰ μεταβληθεῖ ἡ κατάσταση τοῦ ἑνὸς στοῦ ἄλλου, ἐφόσον ἡ ἄλλη φυσικὴ κατάσταση εἶναι καλύτερη. Καὶ ὁ μὲν γιατρὸς ἐπιφέρει τὴ μεταβολὴ μὲ φάρμακα, ἐνῶ ὁ σοφιστὴς μὲ τοὺς λόγους του. Διότι δὲν ἰσχύει ὅτι κανεὶς κάποιον ὁ

ζειν· οὔτε γὰρ τὰ μὴ ὄντα δυνατὸν δοξάσαι, οὔτε ἄλλα παρ' ἃ ἂν
b πάσχῃ, ταῦτα δὲ ἀεὶ ἀληθῆ. ἀλλ' οἶμαι πονηρᾷ ψυχῆς ἕξει δο-
ξάζοντα συγγενῆ αὐτῆς χρηστὴ ἐποίησε δοξάσαι ἕτερα τοιαῦτα,
ἃ δή τινες [τὰ φαντάσματα] ὑπὸ ἀπειρίας ἀληθῆ καλοῦσιν, ἐγὼ
δὲ βελτίω μὲν τὰ ἕτερα τῶν ἑτέρων, ἀληθέστερα δὲ οὐδέν. καὶ
5 τοὺς σοφούς, ὦ φίλε Σώκρατες, πολλοῦ δέω βατράχους λέγειν,
ἀλλὰ κατὰ μὲν σώματα ἰατροὺς λέγω, κατὰ δὲ φυτὰ γεωργούς.
c φημὶ γὰρ καὶ τούτους τοῖς φυτοῖς ἀντὶ πονηρῶν αἰσθήσεων,
ὅταν τι αὐτῶν ἀσθενῇ, χρηστὰς καὶ ὑγιεινὰς αἰσθήσεις τε καὶ
ἕξεις ἐμποιεῖν, τοὺς δέ γε σοφούς τε καὶ ἀγαθοὺς ῥήτορας ταῖς
πόλεσι τὰ χρηστὰ ἀντὶ τῶν πονηρῶν δίκαια δοκεῖν εἶναι ποι-
5 εῖν. ἐπεὶ οἷά γ' ἂν ἑκάστῃ πόλει δίκαια καὶ καλὰ δοκῇ, ταῦτα
καὶ εἶναι αὐτῇ, ἕως ἂν αὐτὰ νομίζῃ· ἀλλ' ὁ σοφὸς ἀντὶ πονηρῶν
ὄντων αὐταῖς ἑκάστων χρηστὰ ἐποίησεν εἶναι καὶ δοκεῖν. κατὰ
δὲ τὸν αὐτὸν λόγον καὶ ὁ σοφιστὴς τοὺς παιδευομένους οὕτω
d δυνάμενος παιδαγωγεῖν σοφός τε καὶ ἄξιος πολλῶν χρημάτων
τοῖς παιδευθεῖσιν. καὶ οὕτω σοφώτεροί τέ εἰσιν ἕτεροι ἑτέρων
καὶ οὐδεὶς ψευδῆ δοξάζει, καὶ σοί, ἐάντε βούλῃ ἐάντε μή, ἀνε-
κτέον ὄντι μέτρῳ· σῴζεται γὰρ ἐν τούτοις ὁ λόγος οὗτος. ᾧ σὺ
5 εἰ μὲν ἔχεις ἐξ ἀρχῆς ἀμφισβητεῖν, ἀμφισβήτει λόγῳ ἀντιδι-
εξελθών· εἰ δὲ δι' ἐρωτήσεων βούλει, δι' ἐρωτήσεων· οὐδὲ γὰρ
τοῦτο φευκτέον, ἀλλὰ πάντων μάλιστα διωκτέον τῷ νοῦν ἔ-
e χοντι. ποίει μέντοι οὑτωσί· μὴ ἀδίκει ἐν τῷ ἐρωτᾶν. καὶ γὰρ

b1 πονηρᾷ Aldus: πονηρᾶς **c** Burnet b2 αὐτῆς Laur.b: ἑαυτῆς BTW Burnet: ἑαυτῇ D χρηστὴ BT Burnet χρηστῇ DW Hicken b3 [ ] Diels: ten. Burnet, Hicken c3 ἕξεις Diès: ἀληθεῖς **c** Burnet, Hicken, Narcy c7 αὐταῖς correxi: αὐτοῖς **c** Burnet, Hicken

ὁποῖος πιστεύει κάτι ψευδὲς τὸν κάνει ὕστερα νὰ πιστεύει αὐτὰ
ποὺ εἶναι ἀληθῆ. Ἀφοῦ δὲν εἶναι δυνατὸν νὰ πιστεύει κανεὶς ὅσα
δὲν ἰσχύουν, ἀλλὰ οὔτε ἄλλα ἐκτὸς ἀπὸ ἐκεῖνα τῶν ὁποίων ἔχει
ἐμπειρία· καὶ τοῦτα εἶναι πάντοτε ἀληθῆ. Κατὰ τὴ γνώμη μου,
βέβαια, ἂν μιὰ ψυχὴ σὲ κακὴ κατάσταση ἔχει πεποιθήσεις
τέτοιου χαρακτήρα, τότε κάποιος μὲ σωστὴ ψυχὴ θὰ τὴν κάνει
νὰ πιστέψει ἄλλες καὶ ὠφέλιμες πεποιθήσεις, τὶς ὁποῖες ὁρι-
σμένοι, ἐξαιτίας τῆς ἀπειρίας τους, τὶς ἀποκαλοῦν ἀληθεῖς, ἐνῶ
ἐγώ, μολονότι λέω ὅτι οἱ μὲν εἶναι καλύτερες ἀπὸ τὶς δέ, ἰσχυ-
ρίζομαι ὅτι δὲν εἶναι οὐδόλως ἀληθέστερες.[37] Καὶ τοὺς σοφούς,
φίλε Σωκράτη, δὲν τοὺς λέω καθόλου βατράχους, ἀλλὰ σὲ ὅ,τι
ἀφορᾶ τὰ σώματα τοὺς ἀποκαλῶ γιατρούς, ἐνῶ σὲ ὅ,τι ἀφορᾶ
τὰ φυτὰ γεωργούς. Διότι ὑποστηρίζω ὅτι ὅπως οἱ τελευταῖοι
προσδίδουν στὰ φυτά, ὅταν κάποιο ἀπὸ αὐτὰ ἀσθενεῖ, ἀντὶ γιὰ
κακὲς αἰσθήσεις καλὲς καὶ ὑγιεῖς, ἔτσι καὶ οἱ σοφοὶ καὶ ἐξαί-
ρετοι ρήτορες κάνουν τὶς πόλεις νὰ πιστεύουν καὶ νὰ πραγμα-
τοποιοῦν αὐτὰ ποὺ εἶναι ὠφέλιμα ἀντὶ γιὰ τὰ κακά. Ἐπειδὴ
κάθε πόλη, ὅποια πράγματα κρίνει ὡς δίκαια καὶ σωστά, αὐτὰ
καὶ ἰσχύουν γι' αὐτήν, ἐφόσον αὐτὰ θεωρεῖ. Ἀλλὰ ὁ σοφός, ἀντὶ
γιὰ τὰ κακὰ ποὺ ἰσχύουν σὲ κάποιες ἀπὸ αὐτές, τὶς κάνει νὰ
στρέφονται καὶ νὰ ἐπιλέγουν τὰ ὠφέλιμα. Κατὰ τὸν ἴδιο τρόπο
καὶ ὁ σοφιστὴς ἔχει τὴν ἱκανότητα νὰ διαπαιδαγωγεῖ ἔτσι ὅ-
σους ἐκπαιδεύει, ὄντας σοφὸς καὶ ἀξίζοντας νὰ λάβει πολλὰ
χρήματα ἀπὸ ἐκείνους ποὺ ἐκπαιδεύονται ἀπὸ αὐτόν. Ὁπότε
ἔτσι, καὶ κάποιοι γίνονται σοφότεροι ἀπὸ τοὺς ἄλλους, καὶ κα-
νείς τους δὲν ἔχει ψευδεῖς ἀπόψεις, καὶ ἐσύ, εἴτε τὸ θέλεις εἴτε
ὄχι, θὰ πρέπει νὰ παραδεχτεῖς ὅτι ἀποτελεῖς μέτρο. Ἀφοῦ μὲ
αὐτὸν τὸν τρόπο ἡ θεωρία μου παραμένει ἀλώβητη.[38]

»Αὐτὸ τώρα ποὺ ἐσὺ ἔχεις ἐξ ἀρχῆς ὡς σκοπὸ νὰ ἀμφισβη-
τήσεις, ἀμφισβήτησέ το προβάλλοντας ἐπιχειρήματα ἀπὸ τὴν
ἄλλη πλευρά. Καί, ἂν προτιμᾶς νὰ τὸ κάνεις αὐτὸ μὲ ἐρωτήσεις,
κάντο μὲ ἐρωτήσεις. Διότι τοῦτο δὲν εἶναι κάτι ποὺ θὰ πρέπει
κανεὶς νὰ τὸ ἀποφεύγει, ἀλλὰ ὅποιος ἔχει νοῦ πρέπει νὰ τὸ ἐπι-
διώκει περισσότερο ἀπ' ὅλα. Κάνε ὡστόσο τὸ ἑξῆς: μὴν εἶσαι

πολλὴ ἀλογία ἀρετῆς φάσκοντα ἐπιμελεῖσθαι μηδὲν ἀλλ' ἢ ἀδικοῦντα ἐν λόγοις διατελεῖν. ἀδικεῖν δ' ἐστὶν ἐν τῷ τοιούτῳ, ὅταν τις μὴ χωρὶς μὲν ὡς ἀγωνιζόμενος τὰς διατριβὰς ποιῆται, χωρὶς δὲ διαλεγόμενος, καὶ ἐν μὲν τῷ παίζῃ τε καὶ σφάλλῃ καθ' ὅσον ἂν δύνηται, ἐν δὲ τῷ διαλέγεσθαι σπουδάζῃ τε καὶ ἐπανορθοῖ τὸν προσδιαλεγόμενον, ἐκεῖνα μόνα αὐτῷ ἐνδεικνύμενος τὰ σφάλματα, ἃ αὐτὸς ὑφ' ἑαυτοῦ καὶ τῶν προτέρων συνουσιῶν παρεκέκρουστο. ἂν μὲν γὰρ οὕτω ποιῇς, ἑαυτοὺς αἰτιάσονται οἱ προσδιατρίβοντές σοι τῆς αὑτῶν ταραχῆς καὶ ἀπορίας ἀλλ' οὐ σέ, καὶ σὲ μὲν διώξονται καὶ φιλήσουσιν, αὐτοὺς δὲ μισήσουσι καὶ φεύξονται ἀφ' ἑαυτῶν εἰς φιλοσοφίαν, ἵν' ἄλλοι γενόμενοι ἀπαλλαγῶσι τῶν οἵ πρότερον ἦσαν· ἐὰν δὲ τἀναντία τούτων δρᾷς ὥσπερ οἱ πολλοί, τἀναντία συμβήσεταί σοι καὶ τοὺς συνόντας ἀντὶ φιλοσόφων μισοῦντας τοῦτο τὸ πρᾶγμα ἀποφανεῖς ἐπειδὰν πρεσβύτεροι γένωνται. ἐὰν οὖν ἐμοὶ πείθῃ, ὃ καὶ πρότερον ἐρρήθη, οὐ δυσμενῶς οὐδὲ μαχητικῶς ἀλλ' ἵλεῳ τῇ διανοίᾳ συγκαθεὶς ὡς ἀληθῶς σκέψῃ τί ποτε λέγομεν, κινεῖσθαί τε ἀποφαινόμενοι τὰ πάντα, τό τε δοκοῦν ἑκάστῳ τοῦτο καὶ εἶναι ἰδιώτῃ τε καὶ πόλει. καὶ ἐκ τούτων ἐπισκέψῃ εἴτε ταὐτὸν εἴτε καὶ ἄλλο ἐπιστήμη καὶ αἴσθησις, ἀλλ' οὐχ ὥσπερ ἄρτι ἐκ συνηθείας ῥημάτων τε καὶ ὀνομάτων, ἃ οἱ πολλοὶ ὅπῃ ἂν τύχωσιν ἕλκοντες ἀπορίας ἀλλήλοις παντοδαπὰς παρέχουσι." ταῦτα, ὦ Θεόδωρε, τῷ ἑταίρῳ σου εἰς βοήθειαν προσηρξάμην κατ' ἐμὴν δύναμιν σμικρὰ ἀπὸ σμικρῶν· εἰ δ' αὐτὸς ἔζη, μεγαλειότερον ἂν τοῖς αὑτοῦ ἐβοήθησεν.

ἄδικος μὲ τὶς ἐρωτήσεις σου. Ἐπειδὴ εἶναι ἐντελῶς παράλογο κάποιος ποὺ ἰσχυρίζεται ὅτι μεριμνᾶ γιὰ τὴν ἀρετὴ νὰ εἶναι κάθε φορὰ ἄδικος στὸν τρόπο ποὺ μεταχειρίζεται τὰ ἐπιχειρήματα. Καὶ πρόκειται γιὰ ἀδικία σὲ αὐτὸν τὸν τομέα, ὅταν κάποιος δὲν κάνει διάκριση ἀνάμεσα στὸ νὰ διεξάγει μιὰ συζήτηση μὲ ἀγωνιστικὴ διάθεση καὶ στὴν ἁπλὴ διαλεκτική. Στὴν πρώτη περίπτωση, μπορεῖ κανεὶς νὰ μὴ μιλάει στὰ σοβαρὰ ἢ νὰ μεταχειρίζεται ἐσφαλμένες μεθόδους, ὅταν τοῦ δοθεῖ ἡ δυνατότητα, ἐνῶ στὴ διαλεκτικὴ θὰ μιλάει σοβαρὰ καὶ θὰ διορθώνει τὸν συνομιλητή του, ὑποδεικνύοντάς του ἐκεῖνα μόνο τὰ σφάλματα στὰ ὁποῖα ἔχει περιπέσει εἴτε ἀπὸ μόνος του, εἴτε ἐξαιτίας συζητήσεων ποὺ προηγήθηκαν. Ἂν τὸ κάνεις αὐτό, τότε οἱ συνομιλητές σου θὰ μέμφονται τὸν ἑαυτό τους καὶ ὄχι ἐσένα, θὰ ἐπιδιώκουν τὴ συντροφιά σου καὶ θὰ σὲ συμπαθοῦν, ἐνῶ θὰ νιώσουν ἀπέχθεια γιὰ τοὺς ἑαυτούς τους καὶ θὰ καταφύγουν ἀπὸ μόνοι τους στὴ φιλοσοφία, προκειμένου νὰ γίνουν ἄλλοι ἀπὸ αὐτὸ ποὺ εἶναι καὶ νὰ ἀπαλλαγοῦν ἀπὸ αὐτὸ ποὺ ἦσαν προηγουμένως. Ἐνῶ, ἂν κάνεις τὰ ἀντίθετα ὅπως κάνει ὁ πολὺς κόσμος, θὰ σοῦ συμβοῦν τὰ ἀντίθετα, καὶ οἱ σύντροφοί σου, ἀντὶ νὰ γίνουν φιλόσοφοι, θὰ καταλήξουν ὅταν φτάσουν σὲ μεγαλύτερη ἡλικία νὰ μισοῦν τὴ φιλοσοφία. Ἂν λοιπὸν ἀκούσεις τὴ συμβουλή μου, τότε, ὅπως σοῦ εἶπα καὶ πρίν, θὰ καθίσεις νὰ συζητήσουμε δίχως ἐχθρότητες καὶ ἀνταγωνισμούς, ἀλλὰ μὲ εὐμενὴ διάθεση, ἐξετάζοντας μὲ εἰλικρίνεια τί ἐννοοῦμε ὅταν ἰσχυριζόμαστε ὅτι τὰ πάντα ὑπόκεινται σὲ μεταβολὴ καὶ ὅτι αὐτὸ ποὺ πιστεύει ὁ καθένας, εἴτε ἰδιώτης εἶναι εἴτε πόλη, αὐτὸ καὶ ἰσχύει. Καὶ μὲ βάση αὐτὰ θὰ ἐξετάσεις τὸ ἂν ἡ γνώση καὶ ἡ αἴσθηση εἶναι τὸ ἴδιο πράγμα ἢ ἄλλο, καὶ ὄχι ὅπως προηγουμένως μὲ βάση τὴ συνηθισμένη χρήση τῶν φράσεων καὶ τῶν λέξεων, ποὺ ὁ πολὺς κόσμος τὶς τραβολογάει ἐδῶ κι ἐκεῖ προκαλώντας κάθε λογῆς ἀμηχανία οἱ μὲν στοὺς δέ».[39]

Αὐτὰ τὰ λίγα εἶναι, Θεόδωρε, ποὺ εἶχα νὰ προσφέρω ὡς βοήθεια στὸν φίλο σου μὲ τὶς μικρές μου δυνάμεις. Ἂν βέβαια ἐκεῖνος ζοῦσε, τότε θὰ βοηθοῦσε τὸν ἑαυτό του μὲ περισσότερη μεγαλοπρέπεια.

ΘΕΟ. Παίζεις, ὦ Σώκρατες· πάνυ γὰρ νεανικῶς τῷ ἀνδρὶ βεβοήθηκας.

ΣΩ. Εὖ λέγεις, ὦ ἑταῖρε. καί μοι εἰπέ· ἐνενόησάς που λέγοντος ἄρτι τοῦ Πρωταγόρου καὶ ὀνειδίζοντος ἡμῖν ὅτι πρὸς παιδίον τοὺς λόγους ποιούμενοι τῷ τοῦ παιδὸς φόβῳ ἀγωνιζοίμεθα εἰς τὰ ἑαυτοῦ, καὶ χαριεντισμόν τινα ἀποκαλῶν, ἀποσεμνύνων δὲ τὸ πάντων μέτρον, σπουδάσαι ἡμᾶς διεκελεύσατο περὶ τὸν αὐτοῦ λόγον;

ΘΕΟ. Πῶς γὰρ οὐκ ἐνενόησα, ὦ Σώκρατες;

ΣΩ. Τί οὖν; κελεύεις πείθεσθαι αὐτῷ;

ΘΕΟ. Σφόδρα γε.

ΣΩ. Ὁρᾷς οὖν ὅτι τάδε πάντα πλὴν σοῦ παιδία ἐστίν. εἰ οὖν πεισόμεθα τῷ ἀνδρί, ἐμὲ καὶ σὲ δεῖ ἐρωτῶντάς τε καὶ ἀποκρινομένους ἀλλήλοις σπουδάσαι αὐτοῦ περὶ τὸν λόγον, ἵνα μὴ τοῦτό γε ἔχῃ ἐγκαλεῖν, ὡς παίζοντες πρὸς μειράκια διεσκεψάμεθ' αὐτοῦ τὸν λόγον.

ΘΕΟ. Τί δ'; οὐ πολλῶν τοι Θεαίτητος μεγάλους πώγωνας ἐχόντων ἄμεινον ἂν ἐπακολουθήσειε λόγῳ διερευνωμένῳ;

ΣΩ. Ἀλλ' οὔ τι σοῦ γε, ὦ Θεόδωρε, ἄμεινον. μὴ οὖν οἷόν ἐμὲ μὲν τῷ σῷ ἑταίρῳ τετελευτηκότι δεῖν παντὶ τρόπῳ ἐπαμύνειν, σὲ δὲ μηδενί. ἀλλ' ἴθι, ὦ ἄριστε, ὀλίγον ἐπίσπου, μέχρι τούτου αὐτοῦ ἕως ἂν εἰδῶμεν εἴτε ἄρα σὲ δεῖ διαγραμμάτων πέρι μέτρον εἶναι, εἴτε πάντες ὁμοίως σοὶ ἱκανοὶ ἑαυτοῖς εἴς τε ἀστρονομίαν καὶ τἆλλα ὧν δὴ σὺ πέρι αἰτίαν ἔχεις διαφέρειν.

ΘΕΟ. Οὐ ῥάδιον, ὦ Σώκρατες, σοὶ παρακαθήμενον μὴ διδόναι λόγον, ἀλλ' ἐγὼ ἄρτι παρελήρησα φάσκων σε ἐπιτρέψειν μοι μὴ ἀποδύεσθαι, καὶ οὐχὶ ἀναγκάσειν καθάπερ Λακεδαιμό-

e3 αὐτοῦ τὸν Γ: αὖ τοῦτὸν τὸν B^{ac}: αὖ τοῦτον τὸν DTWB^{pc}

ΘΕΟ. Θὰ ἀστειεύεσαι, Σωκράτη. Διότι ἡ βοήθεια ποὺ τοῦ προσέφερες ἦταν ἐντελῶς ἐξαιρετική.

ΣΩ. Σὲ εὐχαριστῶ, φίλε μου. Ἀλλὰ πές μου: πρόσεξες ὅτι ὁ Πρωταγόρας μᾶς κατηγόρησε μόλις τώρα ἐπειδὴ πήραμε ὡς συνομιλητή μας ἕνα παιδαρέλι καὶ ἐκμεταλλευτήκαμε τοὺς φόβους του γιὰ νὰ ὑπερισχύσουμε ἀγωνιστικὰ ἀπέναντί του σὲ αὐτὸ ποὺ ὁ ἴδιος ἀποκάλεσε χαριεντισμό, σὲ ἀντίθεση μὲ τὴ σπουδαιότητα τῆς διδασκαλίας του γιὰ τὸ «μέτρο τῶν πάντων», καὶ μᾶς προέτρεψε νὰ ἐξετάσουμε τὴ θεωρία του στὰ σοβαρά;

ΘΕΟ. Πῶς δὲν τὸ πρόσεξα, Σωκράτη;

ΣΩ. Τί λοιπόν, μᾶς συμβουλεύεις νὰ τὸν ὑπακούσουμε;

ΘΕΟ. Καὶ πάρα πολύ.

ΣΩ. Παρατηρεῖς ὅτι ὅλοι ἐδῶ, ἐκτὸς ἀπὸ ἐσένα, εἶναι παιδιά. Ἂν λοιπὸν τὸν ὑπακούσουμε, τότε θὰ πρέπει νὰ συνεχίσουμε τὴ συζήτηση στὰ σοβαρὰ ἐγὼ καὶ ἐσύ, ἀνταλλάσσοντας ἐρωτήσεις καὶ ἀπαντήσεις μεταξύ μας, ἔτσι ὥστε νὰ μὴν μπορεῖ νὰ μᾶς ἐγκαλέσει ὅτι συζητοῦμε τὴ θεωρία του παίζοντας μὲ μικρὰ παιδιά.

ΘΕΟ. Μὰ τί; Ὁ Θεαίτητος δὲν εἶναι σὲ θέση νὰ παρακολουθήσει τὴ διερεύνηση τῆς θεωρίας καλύτερα ἀπὸ πολλοὺς μὲ μακριὲς γενειάδες;

ΣΩ. Ὄχι ὅμως καλύτερα ἀπ' ὅ,τι ἐσύ, Θεόδωρε. Μὴ θεωρήσεις ὅτι, ἐνῶ ἐγὼ εἶχα τὴν ὑποχρέωση νὰ ὑπερασπιστῶ μὲ κάθε τρόπο τὸν ἀποθανόντα φίλο σου, ἐσὺ δὲν τὴν ἔχεις. Ἔλα λοιπόν, ὑπέροχε ἄνθρωπε, ἀκολούθησέ μας γιὰ λίγο, τουλάχιστον ὡσότου διαπιστώσουμε ἂν θὰ πρέπει νὰ ἔχουμε ἐσένα ὡς μέτρο σὲ ὅ,τι ἀφορᾶ τὶς γεωμετρικὲς ἀποδείξεις ἢ ἂν εἶναι οἱ πάντες ἐξίσου ἱκανοὶ μὲ ἐσένα στὰ θέματα τῆς ἀστρονομίας καὶ στὰ ὑπόλοιπα γιὰ τὰ ὁποῖα ἔχεις λόγο νὰ ξεχωρίζεις.

ΘΕΟ. Δὲν εἶναι εὔκολο, Σωκράτη, ὅταν κάποιος κάθεται μαζί σου νὰ μὴν ὑποχρεωθεῖ νὰ δώσει λόγο. Καὶ ἐγὼ προηγουμένως εἶπα ἄλλα ἀντὶ ἄλλων, ὅταν σοῦ ζήτησα νὰ μοῦ ἐπιτρέψεις νὰ μὴν ξεγυμνωθῶ, καὶ νὰ μὴ μὲ ἐξαναγκάσεις νὰ κάνω ὅπως οἱ Λακεδαιμόνιοι. Ἐνῶ ἐσύ, ὅπως μοῦ φαίνεται, συμπεριφέ-

νιοι· σὺ δέ μοι δοκεῖς πρὸς τὸν Σκίρωνα μᾶλλον τείνειν. Λακε-
b δαιμόνιοι μὲν γὰρ ἀπιέναι ἢ ἀποδύεσθαι κελεύουσι, σὺ δὲ κατ᾽
Ἀνταῖόν τί μοι μᾶλλον δοκεῖς τὸ δρᾶμα δρᾶν· τὸν γὰρ προσελ-
θόντα οὐκ ἀνίης πρὶν <ἂν> ἀναγκάσῃς ἀποδύσας ἐν τοῖς λό-
γοις προσπαλαῖσαι.

5 ΣΩ. Ἀριστά γε, ὦ Θεόδωρε, τὴν νόσον μου ἀπῄκασας· ἰσχυ-
ρικώτερος μέντοι ἐγὼ ἐκείνων. μυρίοι γὰρ ἤδη μοι Ἡρακλέες
τε καὶ Θησέες ἐντυχόντες καρτεροὶ πρὸς τὸ λέγειν μάλ᾽ εὖ συγ-
κεκόφασιν, ἀλλ᾽ ἐγὼ οὐδέν τι μᾶλλον ἀφίσταμαι· οὕτω τις ἔρως
c· δεινὸς ἐνδέδυκε τῆς περὶ ταῦτα γυμνασίας. μὴ οὖν μηδὲ σὺ φθο-
νήσῃς προσανατριψάμενος σαυτόν τε ἅμα καὶ ἐμὲ ὀνῆσαι.

ΘΕΟ. Οὐδὲν ἔτι ἀντιλέγω, ἀλλ᾽ ἄγε ὅπῃ ᾽θέλεις· πάντως τὴν
περὶ ταῦτα εἰμαρμένην ἣν <ἂν> σὺ ἐπικλώσῃς δεῖ ἀνατλῆναι
5 ἐλεγχόμενον. οὐ μέντοι περαιτέρω γε ὧν προτίθεσαι οἷός τ᾽
ἔσομαι παρασχεῖν ἐμαυτόν σοι.

ΣΩ. Ἀλλ᾽ ἀρκεῖ καὶ μέχρι τούτων. καί μοι πάνυ τήρει τὸ τοι-
όνδε, μή που παιδικόν τι λάθωμεν εἶδος τῶν λόγων ποιούμε-
d νοι, καί τις πάλιν ἡμῖν αὐτὸ ὀνειδίσῃ.

ΘΕΟ. Ἀλλὰ δὴ πειράσομαί γε καθ᾽ ὅσον ἂν δύνωμαι.

ΣΩ. Τοῦδε τοίνυν πρῶτον πάλιν ἀντιλαβώμεθα οὗπερ τὸ
πρότερον, καὶ ἴδωμεν ὀρθῶς ἢ οὐκ ὀρθῶς ἐδυσχεραίνομεν ἐπι-
5 τιμῶντες τῷ λόγῳ ὅτι αὐτάρκη ἕκαστον εἰς φρόνησιν ἐποίει,
καὶ ἡμῖν συνεχώρησεν ὁ Πρωταγόρας περί τε τοῦ ἀμείνονος καὶ
χείρονος διαφέρειν τινάς, οὓς δὴ καὶ εἶναι σοφούς. οὐχί;

ΘΕΟ. Ναί.

ΣΩ. Εἰ μὲν τοίνυν αὐτὸς παρὼν ὡμολόγει ἀλλὰ μὴ ἡμεῖς
e βοηθοῦντες ὑπὲρ αὐτοῦ συνεχωρήσαμεν, οὐδὲν ἂν πάλιν ἔδει

b3 < > Heindorf c4 < > W^{pc}: om. **c**

ρεσαι σὰν τὸν Σκίρωνα. Διότι οἱ Λακεδαιμόνιοι σοῦ ζητοῦν ἢ
νὰ ξεγυμνωθεῖς ἢ νὰ ἀποχωρήσεις, ἐνῶ ἐσὺ κάνεις τὸ πράγμα
περισσότερο σὰν τὸν Ἀνταῖο. Ἀφοῦ ὅποιον βρεθεῖ κοντά σου δὲν
τὸν ἀφήνεις νὰ φύγει προτοῦ τὸν ὑποχρεώσεις νὰ ξεγυμνωθεῖ
καὶ νὰ παλέψει μαζί σου μὲ τοὺς λόγους.

ΣΩ. Ἔξοχα, Θεόδωρε, παρομοίασες τὴν ἀρρώστια μου. Μό-
νο ποὺ ἐγὼ εἶμαι περισσότερο ἐπίμονος ἀπὸ ἐκείνους. Διότι
μέχρι τώρα ἔχω συναντήσει χιλιάδες Ἡρακλῆδες καὶ Θησέες
ἰσχυροὺς στὰ λόγια καὶ ἔχω φάει τὸ ξύλο τῆς χρονιᾶς μου, ὅμως
ἐγὼ δὲν σταματῶ· ἐπειδὴ τέτοιο φοβερὸ πάθος μὲ διακατέχει
γιὰ αὐτοῦ τοῦ εἴδους τὴ γυμναστική. Ἐπομένως, μὴ μοῦ ἀρνη-
θεῖς νὰ κάνουμε λίγη προπόνηση ποὺ θὰ ὠφελήσει καὶ ἐσένα
καὶ ἐμένα.

ΘΕΟ. Δὲν φέρνω πιὰ ἀντίρρηση, ἀλλὰ πήγαινέ με ὅπου θέ-
λεις. Ἀφοῦ, ὅπως μὲ τὴ Μοίρα, κανεὶς δὲν μπορεῖ νὰ ξεφύγει
ἀπὸ τὰ δίχτυα τοῦ ἐλέγχου ποὺ κλώθεις γύρω του. Ὡστόσο, δὲν
θὰ μπορέσω νὰ σοῦ προσφέρω τὸν ἑαυτό μου πιὸ πέρα ἀπὸ ἐκεῖ
ποὺ πρότεινες.

ΣΩ. Ἀρκεῖ μέχρις ἐκεῖ. Καὶ ἔχε τὸν νοῦ σου μὴ μᾶς ξεφύγει
ἡ συζήτηση καὶ γίνει παιδιάστικη, κι ἔτσι μᾶς κατηγορήσει
πάλι κανεὶς γι᾽ αὐτό.

ΘΕΟ. Θὰ τὸ προσπαθήσω, ὅσο μπορῶ.[40]

ΣΩ. Ἂς ξεκινήσουμε λοιπὸν πάλι ἀπὸ τὸ σημεῖο ὅπου ἤμα-
σταν πρίν, καὶ ἂς δοῦμε ἂν σωστὰ ἢ ὄχι σωστὰ ἐκφράσαμε τὴ
δυσφορία μας, ὅταν κατηγορήσαμε τὴν θεωρία ἐπειδὴ καθι-
στοῦσε τὸν καθένα αὐτάρκη ὡς πρὸς τὴν φρόνηση. Ἄλλωστε καὶ
ὁ Πρωταγόρας συμφώνησε μαζί μας ὅτι ὁρισμένοι ἄνθρωποι
ξεχωρίζουν ὅσον ἀφορᾶ τὸ καλύτερο καὶ τὸ χειρότερο, καὶ πὼς
αὐτοὶ εἶναι σοφοί, ὄχι;

ΘΕΟ. Ναί.

ΣΩ. Ἂν λοιπὸν ἐκεῖνος ἦταν ὁ ἴδιος παρὼν καὶ συμφωνοῦσε,
καὶ δὲν κάναμε ἐμεῖς αὐτὴ τὴν παραδοχὴ γιὰ λογαριασμό του
βοηθώντας τον, τότε δὲν θὰ χρειαζόταν νὰ τὸ ἐπαναβεβαιώ-
σουμε καὶ πάλι. Τώρα ὅμως, ἐνδέχεται κάποιος νὰ μᾶς βγάλει

ἐπαναλαβόντας βεβαιοῦσθαι· νῦν δὲ τάχ᾽ ἄν τις ἡμᾶς ἀκύρους τιθείη τῆς ὑπὲρ ἐκείνου ὁμολογίας. διὸ καλλιόνως ἔχει σαφέστερον περὶ τούτου αὐτοῦ διομολογήσασθαι· οὐ γάρ τι σμικρὸν παραλλάττει οὕτως ἔχον ἢ ἄλλως.

ΘΕΟ. Λέγεις ἀληθῆ.

ΣΩ. Μὴ τοίνυν δι᾽ ἄλλων ἀλλ᾽ ἐκ τοῦ ἐκείνου λόγου ὡς διὰ βραχυτάτων λάβωμεν τὴν ὁμολογίαν.

ΘΕΟ. Πῶς;

ΣΩ. Οὑτωσί· τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ εἶναί φησί που ᾧ δοκεῖ;

ΘΕΟ. Φησὶ γὰρ οὖν.

ΣΩ. Οὐκοῦν, ὦ Πρωταγόρα, καὶ ἡμεῖς ἀνθρώπου, μᾶλλον δὲ πάντων ἀνθρώπων δόξας λέγομεν, καὶ φαμὲν οὐδένα ὅντινα οὐ τὰ μὲν αὑτὸν ἡγεῖσθαι τῶν ἄλλων σοφώτερον, τὰ δὲ ἄλλους ἑαυτοῦ, καὶ ἔν γε τοῖς μεγίστοις κινδύνοις, ὅταν ἐν στρατείαις ἢ νόσοις ἢ ἐν θαλάττῃ χειμάζωνται, ὥσπερ πρὸς θεοὺς ἔχειν τοὺς ἐν ἑκάστοις ἄρχοντας, σωτῆρας σφῶν προσδοκῶντας, οὐκ ἄλλῳ τῳ διαφέροντας ἢ τῷ εἰδέναι· καὶ πάντα που μεστὰ τἀνθρώπινα ζητούντων διδασκάλους τε καὶ ἄρχοντας ἑαυτῶν τε καὶ τῶν ἄλλων ζῴων τῶν τε ἐργασιῶν, οἰομένων τε αὖ ἱκανῶν μὲν διδάσκειν, ἱκανῶν δὲ ἄρχειν εἶναι. καὶ ἐν τούτοις ἅπασι τί ἄλλο φήσομεν ἢ αὐτοὺς τοὺς ἀνθρώπους ἡγεῖσθαι σοφίαν καὶ ἀμαθίαν εἶναι παρὰ σφίσιν;

ΘΕΟ. Οὐδὲν ἄλλο.

ΣΩ. Οὐκοῦν τὴν μὲν σοφίαν ἀληθῆ διάνοιαν ἡγοῦνται, τὴν δὲ ἀμαθίαν ψευδῆ δόξαν;

ΘΕΟ. Τί μήν;

ΣΩ. Τί οὖν, ὦ Πρωταγόρα, χρησόμεθα τῷ λόγῳ; πότερον

ἄκυρους λέγοντας ὅτι δὲν ἔχουμε τὸ δικαίωμα νὰ κάνουμε αὐτὴ τὴν παραδοχὴ ἐκ μέρους του. Γι᾽ αὐτὸ εἶναι προτιμότερο νὰ ἔρθουμε σαφέστερα σὲ συμφωνία ὡς πρὸς αὐτὸ τὸ σημεῖο, ἐπειδὴ κάνει σημαντικὴ διαφορὰ ἂν τὸ πράγμα ἔχει ἔτσι ἢ ἀλλιῶς.

ΘΕΟ. Ἀλήθεια λές.

ΣΩ. Ἂς ἀντλήσουμε λοιπὸν τὴν παραδοχὴ αὐτὴ ὄχι ἀπὸ ἀλλοῦ, ἀλλά, ὅσο πιὸ σύντομα γίνεται, ἀπὸ τὴ δική του θεωρία.

ΘΕΟ. Πῶς;

ΣΩ. Ὡς ἑξῆς: δὲν λέει κάπου ὅτι αὐτὸ ποὺ πιστεύει κάποιος αὐτὸ καὶ ἰσχύει;

ΘΕΟ. Ἔτσι ἰσχυρίζεται.

ΣΩ. Ὁπότε λοιπόν, Πρωταγόρα, καὶ ἐμεῖς διατυπώνουμε τὶς ἀπόψεις κάποιου ἀνθρώπου, ἢ μᾶλλον ὅλων τῶν ἀνθρώπων, ὅταν ἰσχυριζόμαστε πὼς δὲν ὑπάρχει κανένας ποὺ νὰ μὴν θεωρεῖ ὅτι σὲ ὁρισμένα θέματα εἶναι σοφότερος ἀπὸ τοὺς ἄλλους, ἐνῶ σὲ ἄλλα ὅτι ἄλλοι εἶναι περισσότερο σοφοὶ ἀπὸ τὸν ἴδιο, καὶ πὼς ὅταν βρίσκεται σὲ πολὺ μεγάλο κίνδυνο, ὅταν δοκιμάζεται σὲ ἐκστρατεῖες, ἢ ἀπὸ ἀρρώστιες, ἢ ἀπὸ φουρτοῦνες στὴ θάλασσα, ἔχει ὅσους ἔχουν τὴν κατάσταση στὰ χέρια τους σὰν θεούς, προσβλέποντας σὲ αὐτοὺς ὡς σωτῆρες ἐπειδὴ ὑπερέχουν ὄχι ὡς πρὸς κάτι ἄλλο, ἀλλὰ ὡς πρὸς τὴ γνώση. Καὶ πὼς ὅλος ὁ κόσμος εἶναι γεμάτος ἀπὸ ἀνθρώπους ποὺ ἀναζητοῦν δασκάλους ἢ ὅσους μποροῦν νὰ εἶναι ὑπεύθυνοι γιὰ τοὺς ἑαυτούς τους καὶ γιὰ τὰ ἄλλα ζωντανὰ πλάσματα, ἀλλὰ καὶ γιὰ τὶς διάφορες ἐργασίες θεωρώντας τους ὅτι εἶναι ἱκανοί, ἀφ᾽ ἑνὸς νὰ τοὺς διδάξουν, καὶ ἀφ᾽ ἑτέρου νὰ ἀναλάβουν ὑπεύθυνα τὰ πράγματα στὰ χέρια τους. Σὲ ὅλες αὐτὲς τὶς περιπτώσεις, λοιπόν, τί ἄλλο θὰ ποῦμε ἐκτὸς ἀπὸ τὸ ὅτι οἱ ἄνθρωποι θεωροῦν πὼς ὑπάρχει σὲ αὐτοὺς σοφία ἢ ἀλλιῶς ἀμάθεια;

ΘΕΟ. Τίποτε ἄλλο.[41]

ΣΩ. Καὶ λοιπόν, θεωροῦν ὅτι ἡ σοφία εἶναι ἡ ἀληθὴς σκέψη, ἐνῶ ἡ ἀμάθεια ἡ ψευδὴς πεποίθηση;

ΘΕΟ. Τί ἄλλο;

ΣΩ. Ἑπομένως, Πρωταγόρα, τί θὰ κάνουμε μὲ τὴ θεωρία

ἀληθῆ φῶμεν ἀεὶ τοὺς ἀνθρώπους δοξάζειν, ἢ τοτὲ μὲν ἀληθῆ, τοτὲ δὲ ψευδῆ; ἐξ ἀμφοτέρων γάρ που συμβαίνει μὴ ἀεὶ ἀληθῆ ἀλλ' ἀμφότερα αὐτοὺς δοξάζειν. σκόπει γάρ, ὦ Θεόδωρε, εἰ ἐθέλοι ἄν τις τῶν ἀμφὶ Πρωταγόραν ἢ σὺ αὐτὸς διαμάχεσθαι ὡς οὐδεὶς ἡγεῖται ἕτερος ἕτερον ἀμαθῆ τε εἶναι καὶ ψευδῆ δοξάζειν.

ΘΕΟ. Παντάπασι μὲν οὖν. καὶ γάρ, ὦ Σώκρατες, περὶ τούτων τῶν Ἡρακλειτείων ἤ, ὥσπερ σὺ λέγεις, Ὁμηρείων καὶ ἔτι παλαιοτέρων, αὐτοῖς μὲν τοῖς περὶ τὴν Ἔφεσον, ὅσοι προσποιοῦνται ἔμπειροι, οὐδὲν μᾶλλον οἷόν τε διαλεχθῆναι ἢ τοῖς οἰστρῶσιν. ἀτεχνῶς γὰρ κατὰ τὰ συγγράμματα φέρονται, τὸ δ' ἐπιμεῖναι ἐπὶ λόγῳ καὶ ἐρωτήματι καὶ ἡσυχίως ἐν μέρει ἀπο-
180 κρίνασθαι καὶ ἐρέσθαι ἧττον αὐτοῖς ἔνι ἢ τὸ μηδέν· μᾶλλον δὲ ὑπερβάλλει τὸ οὐδ' οὐδὲν πρὸς τὸ μηδὲ σμικρὸν ἐνεῖναι τοῖς ἀνδράσιν ἡσυχίας. ἀλλ' ἄν τινά τι ἔρῃ, ὥσπερ ἐκ φαρέτρας ῥηματίσκια αἰνιγματώδη ἀνασπῶντες ἀποτοξεύουσι, κἂν τούτου ζητῇς λόγον λαβεῖν τί εἴρηκεν, ἑτέρῳ πεπλήξῃ καινῶς μετωνομασμένῳ. περανεῖς δὲ οὐδέποτε οὐδὲν πρὸς οὐδένα αὐτῶν· οὐδέ γε ἐκεῖνοι αὐτοὶ πρὸς ἀλλήλους, ἀλλ' εὖ πάνυ φυλάττουσι
b τὸ μηδὲν βέβαιον ἐᾶν εἶναι μήτ' ἐν λόγῳ μήτ' ἐν ταῖς αὐτῶν

d1 ἄπο σκοποῦ scripsi: ἀπὸ σκοποῦ Burnet, Hicken

ὅσοι ἰσχυρίζονται ὅτι εἶναι ἀπολύτως εὐκρινεῖς καὶ πραγματικὲς γνώσεις ἐνδέχεται νὰ λένε κάτι ποὺ ἰσχύει, ὁπότε τοῦτος ἐδῶ ὁ Θεαίτητος δὲν ἔπεσε ἔξω ὅταν εἶπε πὼς θεωρεῖ ὅτι ἡ αἴσθηση καὶ ἡ γνώση εἶναι τὸ ἴδιο πράγμα.[51] Ἀλλά, ὅπως μᾶς ὑπέδειξε ἡ θεωρία τοῦ Πρωταγόρα, θὰ πρέπει νὰ προχωρήσουμε παραπέρα, καὶ νὰ ἐξετάσουμε τὴν ἄποψη γιὰ τὴν μεταβαλλόμενη πραγματικότητα καὶ νὰ τὴν ἐλέγξουμε ἂν λέει κάτι στέρεο ἢ κάτι σαθρό. Καὶ γι' αὐτὸ τὸ θέμα ἔχει ὑπάρξει σοβαρὴ διαμάχη μεταξὺ ὄχι ὀλίγων.

ΘΕΟ. Μὰ βέβαια, ἡ ἄποψη αὐτὴ δὲν εἶναι καθόλου ἀσήμαντη, καὶ στὴν Ἰωνία ἰδιαίτερα ἔχει μεγάλη πέραση. Διότι οἱ ὀπαδοὶ τοῦ Ἡράκλειτου ἔχουν συνεισφέρει στὴν παραπάνω ἄποψη πολὺ ἰσχυρὰ ἐπιχειρήματα.

ΣΩ. Ἕνας λόγος παραπάνω, Θεόδωρε, νὰ τὴν ἐξετάσουμε ἐξ ἀρχῆς, ὅπως ἐκεῖνοι τὴν ἀναπτύσσουν.

ΘΕΟ. Ἀσφαλῶς. Ἐπειδή, Σωκράτη, μὲ τοὺς ἴδιους ἐκείνους ποὺ βρίσκονται ἐγκατεστημένοι στὴν περιοχὴ τῆς Ἐφέσου καὶ παριστάνουν τοὺς εἰδικοὺς σὲ αὐτὲς τὶς ἡρακλείτειες διδασκαλίες —ἤ, ὅπως λὲς ἐσύ, τὶς ὁμηρικὲς καὶ ἀκόμη παλαιότερες— δὲν μπορεῖς νὰ κάνεις συζήτηση περισσότερη ἀπ' ὅσο μὲ τοὺς μανιακούς. Διότι πιστοὶ στὰ συγγράμματά τους βρίσκονται σὲ διαρκὴ κίνηση, καὶ εἶναι λιγότερο ἀπὸ μηδενικὴ ἡ δυνατότητα νὰ κάτσεις μὲ αὐτοὺς καὶ νὰ ἐπιμείνεις σὲ ἕνα ἐπιχείρημα ἢ νὰ ἀνταλλάξεις ἐρωτήσεις καὶ ἀπαντήσεις μὲ ἥσυχη διάθεση. Ἢ μᾶλλον καὶ τὸ μηδὲν εἶναι ὑπερβολικὸ γιὰ νὰ περιγράψει τὸ γεγονὸς ὅτι στοὺς ἀνθρώπους αὐτοὺς δὲν ὑπάρχει οὔτε τὸ ἐλάχιστο ἴχνος ἡσυχίας. Καὶ ἂν κανεὶς ρωτήσει κάτι κάποιον ἀπὸ αὐτούς, ἐκεῖνος παρευθὺς τοῦ ἐκτοξεύει σύντομες καὶ αἰνιγματικὲς φράσεις σὰν νὰ τὶς βγάζει ἀπὸ τὴ φαρέτρα του, καὶ ἂν τοῦ ζητήσεις νὰ σοῦ δώσει ἐξήγηση γι' αὐτὰ ποὺ εἶπε, θὰ σοῦ ἐξαπολύσῃ μιὰν ἀκόμη ποὺ νὰ περιέχει καινοφανεῖς μεταφορές. Καὶ δὲν βγάζεις ποτὲ ἄκρη σὲ τίποτε μὲ κανέναν ἀπὸ δαύτους, ἀλλὰ οὔτε καὶ οἱ ἴδιοι αὐτοὶ μεταξύ τους· ἁπλῶς διαφυλάσσουν μὲ προσοχὴ τὸ ὅτι δὲν ὑπάρχει τίποτα τὸ βέβαιο οὔτε στὰ λόγια

ψυχαῖς, ἡγούμενοι, ὡς ἐμοὶ δοκεῖ, αὐτὸ στάσιμον εἶναι· τούτῳ δὲ πάνυ πολεμοῦσιν, καὶ καθ' ὅσον δύνανται πανταχόθεν ἐκβάλλουσιν.

ΣΩ. Ἴσως, ὦ Θεόδωρε, τοὺς ἄνδρας μαχομένους ἑώρακας, εἰρηνεύουσιν δὲ οὐ συγγέγονας· οὐ γὰρ σοὶ ἑταῖροί εἰσιν. ἀλλ' οἶμαι τὰ τοιαῦτα τοῖς μαθηταῖς ἐπὶ σχολῆς φράζουσιν, οὓς ἂν βούλωνται ὁμοίους αὑτοῖς ποιῆσαι.

ΘΕΟ. Ποίοις μαθηταῖς, ὦ δαιμόνιε; οὐδὲ γίγνεται τῶν τοιούτων ἕτερος ἑτέρου μαθητής, ἀλλ' αὐτόματοι ἀναφύονται ὁπόθεν ἂν τύχῃ ἕκαστος αὐτῶν ἐνθουσιάσας, καὶ τὸν ἕτερον ὁ ἕτερος οὐδὲν ἡγεῖται εἰδέναι. παρὰ μὲν οὖν τούτων, ὅπερ ᾖα ἐρῶν, οὐκ ἄν ποτε λάβοις λόγον οὔτε ἑκόντων οὔτε ἀκόντων· αὐτοὺς δὲ δεῖ παραλαβόντας ὥσπερ πρόβλημα ἐπισκοπεῖσθαι.

ΣΩ. Καὶ μετρίως γε λέγεις. τὸ δὲ δὴ πρόβλημα ἄλλο τι παρειλήφαμεν παρὰ μὲν τῶν ἀρχαίων μετὰ ποιήσεως ἐπικρυπτομένων τοὺς πολλούς, ὡς ἡ γένεσις τῶν ἄλλων πάντων Ὠκεανός τε καὶ Τηθὺς ῥεύματα τυγχάνει καὶ οὐδὲν ἕστηκε, παρὰ δὲ τῶν ὑστέρων ἅτε σοφωτέρων ἀναφανδὸν ἀποδεικνυμένων, ἵνα καὶ οἱ σκυτοτόμοι αὐτῶν τὴν σοφίαν μάθωσιν ἀκούσαντες καὶ παύσωνται ἠλιθίως οἰόμενοι τὰ μὲν ἑστάναι, τὰ δὲ κινεῖσθαι τῶν ὄντων, μαθόντες δὲ ὅτι πάντα κινεῖται τιμῶσιν αὐτούς; ὀλίγου δὲ ἐπελαθόμην, ὦ Θεόδωρε, ὅτι ἄλλοι αὖ τἀναντία τούτοις ἀπεφήναντο, οἷον

ἀκίνητον τελέθει τῷ παντὶ ὄνομ' εἶναι

καὶ ἄλλα ὅσα Μέλισσοί τε καὶ Παρμενίδαι ἐναντιούμενοι πᾶσι τούτοις διισχυρίζονται, ὡς ἕν τε πάντα ἐστὶ καὶ ἕστηκεν αὐτὸ ἐν

d2 <ὄντα> τυγχάνει Burnet

οὔτε στὶς ψυχές τους ἐπειδή, ὅπως πιστεύω, θεωροῦν ὅτι τοῦτο θὰ σήμαινε πὼς ὑπάρχει κάτι τὸ στατικό. Καὶ αὐτὸ τὸ καταπολεμοῦν μὲ κάθε τρόπο, καὶ κάνουν ὅ,τι μποροῦν ὥστε νὰ τὸ ἀποβάλλουν ἀπὸ παντοῦ.

ΣΩ. Ὑποθέτω, Θεόδωρε, ὅτι ἔχεις δεῖ αὐτοὺς τοὺς ἀνθρώπους νὰ μάχονται, καὶ ὅτι δὲν τοὺς ἔχεις συναναστραφεῖ σὲ συνθῆκες εἰρήνης, ἐφόσον δὲν εἶναι φίλοι σου. Ἀλλὰ φαντάζομαι ὅτι ὅλα αὐτὰ θὰ τὰ ἐξηγοῦν μὲ τὴν ἡσυχία τους στοὺς μαθητές τους, τοὺς ὁποίους θὰ ἐπιδιώκουν νὰ τοὺς κάνουν ὅμοιους μὲ τοὺς ἑαυτούς τους.

ΘΕΟ. Ποιούς μαθητές, ἄνθρωπέ μου; Δὲν ὑπάρχει σὲ αὐτοὺς τὸ νὰ εἶναι ὁ ἕνας μαθητὴς τοῦ ἄλλου, ἀλλὰ ξεφυτρώνουν ἀπὸ μόνοι τους, καθένας ὅπως τὸ φέρει ἡ τύχη μέσω ἔμπνευσης. Καὶ ὁ ἕνας τους θεωρεῖ ὅτι ὁ ἄλλος δὲν γνωρίζει τίποτε. Ἀπὸ ἐκείνους, λοιπόν, ὅπως πῆγα νὰ πῶ, δὲν μπορεῖς ποτὲ νὰ πάρεις ἕνα λογικὸ ἐπιχείρημα, οὔτε μὲ τὴ θέλησή τους οὔτε δίχως αὐτήν. Θὰ πρέπει συνεπῶς νὰ τοὺς παραλάβουμε ἐμεῖς οἱ ἴδιοι, καὶ νὰ τοὺς ἀντιμετωπίσουμε σὰν μαθηματικὸ πρόβλημα.

ΣΩ. Πολὺ καλὰ τὰ λές. Ὅσο γιὰ τὸ πρόβλημα: μὰ δὲν ἔχουμε παραλάβει ἀπὸ τοὺς ἀρχαίους τὴν παράδοση —κρυμμένη ἀπὸ τοὺς πολλοὺς μὲ τὴ χρήση ποιητικῶν διατυπώσεων— ὅτι ἡ ἀρχὴ τῆς γένεσης ὅλων τῶν ἄλλων εἶναι ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς, ποὺ εἶναι ρεύματα καὶ δὲν στέκονται καθόλου; Καὶ ὅμως, οἱ κατοπινοὶ δὲν τὸ φανέρωσαν αὐτὸ ξεκάθαρα ἔτσι ὥστε ἀκόμη καὶ ὁ τελευταῖος τσαγκάρης νὰ ἀκούσει καὶ νὰ κατανοήσει τὴ σοφία τους, ὁπότε νὰ πάψει νὰ πιστεύει σὰν ἠλίθιος ὅτι ἀπὸ τὰ ὄντα ἄλλα στέκουν καὶ ἄλλα μεταβάλλονται, ἀλλὰ νὰ μάθει ὅτι τὰ πάντα ὑφίστανται μεταβολή, καὶ ἔτσι νὰ τοὺς ἔχει σὲ μεγάλη ἐκτίμηση.[52] Ὅμως παραλίγο νὰ ξεχάσω, Θεόδωρε, ὅτι ἄλλοι πάλι διδάσκουν τὰ ἀντίθετα ἀπὸ ἐκείνους: ὅπως ὅτι «τὸ ὂν στέκει ἀκίνητο καὶ εἶναι τὸ ὄνομα τῶν πάντων», καὶ ἄλλα πολλὰ ποὺ ἄνθρωποι ὅπως ὁ Μέλισσος καὶ ὁ Παρμενίδης ὑποστηρίζουν ἐρχόμενοι σὲ πλήρη ἀντίθεση πρὸς ἐκείνους, λέγοντας καὶ ὅτι τὰ πάντα εἶναι ἕνα καὶ ὅτι αὐτὸ στέκει μέσα στὸν ἑαυτό

αὐτῷ οὐκ ἔχον χώραν ἐν ᾗ κινεῖται. τούτοις οὖν, ὦ ἑταῖρε, πᾶσι
5 τί χρησόμεθα; κατὰ σμικρὸν γὰρ προϊόντες λελήθαμεν ἀμφο-
181 τέρων εἰς τὸ μέσον πεπτωκότες, καὶ ἂν μή πῃ ἀμυνόμενοι δια-
φύγωμεν, δίκην δώσομεν ὥσπερ οἱ ἐν ταῖς παλαίστραις διὰ
γραμμῆς παίζοντες, ὅταν ὑπ' ἀμφοτέρων ληφθέντες ἕλκωνται
εἰς τἀναντία. δοκεῖ οὖν μοι τοὺς ἑτέρους πρότερον σκεπτέον,
5 ἐφ' οὕσπερ ὡρμήσαμεν, τοὺς ῥέοντας, καὶ ἐὰν μέν τι φαίνων-
ται λέγοντες, συνέλξομεν μετ' αὐτῶν ἡμᾶς αὐτούς, τοὺς ἑτέ-
ρους ἐκφυγεῖν πειρώμενοι· ἐὰν δὲ οἱ τοῦ ὅλου στασιῶται
b. ἀληθέστερα λέγειν δοκῶσι, φευξόμεθα παρ' αὐτοὺς ἀπ' αὖ τῶν
τὰ ἀκίνητα κινούντων. ἀμφότεροι δ' ἂν φανῶσι μηδὲν μέτριον
λέγοντες, γελοῖοι ἐσόμεθα ἡγούμενοι ἡμᾶς μὲν τὶ λέγειν φαύ-
λους ὄντας, παμπαλαίους δὲ καὶ πασσόφους ἄνδρας ἀποδε-
5 δοκιμακότες. ὅρα οὖν, ὦ Θεόδωρε, εἰ λυσιτελεῖ εἰς τοσοῦτον
προϊέναι κίνδυνον.

ΘΕΟ. Οὐδὲν μὲν οὖν ἀνεκτόν, ὦ Σώκρατες, μὴ οὐ διασκέψα-
σθαι τί λέγουσιν ἑκάτεροι τῶν ἀνδρῶν.

ΣΩ. Σκεπτέον ἂν εἴη σοῦ γε οὕτω προθυμουμένου. δοκεῖ οὖν
c μοι ἀρχὴ εἶναι τῆς σκέψεως κινήσεως πέρι, ποῖόν τί ποτε ἄρα
λέγοντές φασι τὰ πάντα κινεῖσθαι. βούλομαι δὲ λέγειν τὸ τοι-
όνδε· πότερον ἕν τι εἶδος αὐτῆς λέγουσιν ἤ, ὥσπερ ἐμοὶ φαίνε-
ται, δύο; μὴ μέντοι μόνον ἐμοὶ δοκείτω, ἀλλὰ συμμέτεχε καὶ σύ,
5 ἵνα κοινῇ πάσχωμεν ἄν τι καὶ δέῃ. καί μοι λέγε· ἆρα κινεῖσθαι
καλεῖς ὅταν τι χώραν ἐκ χώρας μεταβάλλῃ ἢ καὶ ἐν τῷ αὐτῷ
στρέφηται;

ΘΕΟ. Ἔγωγε.

ΣΩ. Τοῦτο μὲν τοίνυν ἓν ἔστω εἶδος. ὅταν δὲ ᾖ μὲν ἐν τῷ

b1 παρ' αὐτοὺς ἀπ' αὖ τῶν Schleiermacher: παρ' αὐτοὺς ἀπ' αὐτῶν T^{pc}: τῶν παρ' αὐτοὺς ἀπ' αὐτῶν T^{ac}: ἀπ' αὐτῶν τῶν παρ' αὐτοὺς **β**W

του δίχως νὰ ἔχει χῶρο στὸν ὁποῖο νὰ κινηθεῖ. Τί θὰ κάνουμε λοιπόν, φίλε μου, μὲ ὅλους αὐτούς; Διότι προχωρώντας λίγο-λίγο, βρεθήκαμε χωρὶς νὰ τὸ καταλάβουμε στὸ μέσον ἀνάμεσα στὶς δύο παρατάξεις, ὁπότε, ἂν δὲν κατορθώσουμε νὰ ἀμυνθοῦμε καὶ νὰ διαφύγουμε, τότε θὰ ὑποστοῦμε ποινή, ὅπως γίνεται στὶς παλαῖστρες ὅπου κάποιοι ἀγωνίζονται «ἀπὸ τὴ γραμμὴ» ὅταν τοὺς πιάνουν καὶ ἀπὸ τὶς δύο πλευρὲς καὶ τοὺς τραβοῦν πρὸς δύο ἀντίθετες κατευθύνσεις.[53] Νομίζω λοιπόν, ὅτι θὰ πρέπει νὰ ἐξετάσουμε κατ' ἀρχὰς τοὺς πρώτους ποὺ συναντήσαμε, αὐτοὺς ποὺ «ρέουν», καὶ ἂν προκύψει ὅτι αὐτὸ ποὺ λένε ἔχει κάποιο νόημα, τότε ἂς συνταχθοῦμε καὶ ἐμεῖς οἱ ἴδιοι μαζί τους, προσπαθώντας ἔτσι νὰ ξεφύγουμε ἀπὸ τοὺς ἄλλους. Ἂν πάλι μᾶς φανεῖ ὅτι ἐκεῖνα ποὺ πρεσβεύουν οἱ ὀπαδοὶ τοῦ «συνολικοῦ ὄντος» εἶναι περισσότερο ἀληθῆ, τότε ἂς προστρέξουμε σὲ αὐτοὺς ὥστε νὰ ξεφύγουμε ἀπὸ ἐκείνους ποὺ κινοῦν τὰ ἀκίνητα. Ἂν τέλος φανεῖ πὼς καὶ οἱ δύο δὲν λένε τίποτε ἀξιόλογο, τότε θὰ εἴμαστε γελοῖοι ἂν πιστέψουμε ὅτι ἐμεῖς ποὺ εἴμαστε τόσο ἀνάξιοι λέμε κάτι, ὅταν θὰ ἔχουμε ἀποδοκιμάσει ἀνθρώπους παμπάλαιους καὶ πάνσοφους. Πρόσεξε λοιπόν, Θεόδωρε, ἂν ἀξίζει νὰ ἐκτεθοῦμε σὲ τόσο μεγάλο κίνδυνο.

ΘΕΟ. Δὲν θὰ ἦταν ἐπιτρεπτό, Σωκράτη, νὰ μὴν ἐξετάσουμε ἀπὸ κοινοῦ τί ἐννοοῦν οἱ δύο αὐτὲς παρατάξεις.

ΣΩ. Θὰ πρέπει νὰ τὸ ἐξετάσουμε, ἐφόσον ἐσὺ τὸ θέλεις τόσο πολύ. Καὶ κατὰ τὴ γνώμη μου ἀφετηρία τῆς ἐξέτασής μας σχετικὰ μὲ τὴ μεταβολὴ θὰ πρέπει νὰ εἶναι: τί τέλος πάντων ἐννοοῦν, ὅταν λένε ὅτι τὰ πάντα ὑφίστανται μεταβολή; Θέλω νὰ πῶ κάτι σὰν τὸ ἑξῆς: ἐννοοῦν ὅτι ὑπάρχει ἕνα εἶδος μεταβολῆς ἤ, ὅπως ἐμένα μοῦ φαίνεται, δύο; Μὴ μὲ ἀφήσεις, ὅμως, μόνο μου σὲ αὐτὸ ποὺ πιστεύω, ἀλλὰ ἔλα νὰ συμμετάσχεις καὶ ἐσύ, ἔτσι ὥστε νὰ ὑποστοῦμε μαζὶ ὅ,τι μᾶς χρειάζεται. Πές μου, λοιπόν, λὲς ὅτι κάτι ὑφίσταται μεταβολὴ ὅταν μετακινεῖται ἀπὸ τὸ ἕνα μέρος στὸ ἄλλο ἢ καὶ περιστρέφεται στὸ ἴδιο σημεῖο;

ΘΕΟ. Βεβαίως.

ΣΩ. Ἂς ποῦμε, ἑπομένως, ὅτι αὐτὸ εἶναι τὸ ἕνα εἶδος. Ὅταν

αὐτῷ, γηράσκῃ δέ, ἢ μέλαν ἐκ λευκοῦ ἢ σκληρὸν ἐκ μαλακοῦ
d γίγνηται, ἤ τινα ἄλλην ἀλλοίωσιν ἀλλοιῶται, ἆρα οὐκ ἄξιον
ἕτερον εἶδος φάναι κινήσεως;

ΘΕΟ. Ἔμοιγε δοκεῖ. ἀναγκαῖον μὲν οὖν.

ΣΩ. Δύο δὴ λέγω τούτω εἴδει κινήσεως, ἀλλοίωσιν, τὴν δὲ
5 φοράν.

ΘΕΟ. Ὀρθῶς γε λέγων.

ΣΩ. Τοῦτο τοίνυν οὕτω διελόμενοι διαλεγώμεθα ἤδη τοῖς τὰ
πάντα φάσκουσιν κινεῖσθαι καὶ ἐρωτῶμεν· Πότερον πᾶν φατε
e· ἀμφοτέρως κινεῖσθαι, φερόμενόν τε καὶ ἀλλοιούμενον, ἢ τὸ μέν
τι ἀμφοτέρως, τὸ δ' ἑτέρως;

ΘΕΟ. Ἀλλὰ μὰ Δί' ἔγωγε οὐκ ἔχω εἰπεῖν· οἶμαι δ' ἂν φάναι
ἀμφοτέρως.

5 ΣΩ. Εἰ δέ γε μή, ὦ ἑταῖρε, κινούμενά τε αὐτοῖς καὶ ἑστῶτα
φανεῖται, καὶ οὐδὲν μᾶλλον ὀρθῶς ἕξει εἰπεῖν ὅτι κινεῖται τὰ
πάντα ἢ ὅτι ἕστηκεν.

ΘΕΟ. Ἀληθέστατα λέγεις.

ΣΩ. Οὐκοῦν ἐπειδὴ κινεῖσθαι αὐτὰ δεῖ, τὸ δὲ μὴ κινεῖσθαι μὴ
182 ἐνεῖναι μηδενί, πάντα δὴ πᾶσαν κίνησιν ἀεὶ κινεῖται.

ΘΕΟ. Ἀνάγκη.

ΣΩ. Σκόπει δή μοι τόδε αὐτῶν· τῆς θερμότητος ἢ λευκότη-
τος ἢ ὁτουοῦν γένεσιν οὐχ οὕτω πως ἐλέγομεν φάναι αὐτούς,
5 φέρεσθαι ἕκαστον τούτων ἅμα αἰσθήσει μεταξὺ τοῦ ποιοῦντός
τε καὶ πάσχοντος, καὶ τὸ μὲν πάσχον αἰσθανόμενον ἀλλ' οὐκ
αἴσθησιν γίγνεσθαι, τὸ δὲ ποιοῦν ποιόν τι ἀλλ' οὐ ποιότητα;
ἴσως οὖν ἡ "ποιότης" ἅμα ἀλλόκοτόν τε φαίνεται ὄνομα καὶ οὐ

---

d4 ἔμοιγε δοκεῖ om. Stobaeus, Hicken, secl. Burnet a7 *αἰσθανόμενον* Heindorf: *αἰσθητὸν* **c**: *αἰσθητικὸν* Laur.b Burnet a8 *ποιόν τι* W^{pc} Simplicius, Elias: *ποιοῦντι* **β**W^{ac}: *ποιοῦν τι* T

ὅμως κάτι βρίσκεται στὸ ἴδιο μέρος ἀλλὰ γερνάει, ἢ γίνεται
ἀπὸ ἄσπρο μαῦρο ἢ ἀπὸ μαλακὸ σκληρό, ἢ ὑφίσταται κάποια
ἄλλη ἀλλοίωση, δὲν εἶναι σωστὸ νὰ τὸ ποῦμε αὐτὸ ἄλλο εἶδος
μεταβολῆς;

ΘΕΟ. Ἔτσι πιστεύω. Διότι εἶναι ἀναγκαῖο.

ΣΩ. Συνεπῶς, λέγω ὅτι ἔχουμε δύο εἴδη μεταβολῆς, τὴν ἀλ-
λοίωση καὶ τὴν μετακίνηση.

ΘΕΟ. Σωστὰ τὸ λές.

ΣΩ. Ἔχοντας κάνει αὐτὴ τὴ διάκριση, τώρα, ἂς ξεκινήσουμε
τὴ συζήτηση μὲ ἐκείνους ποὺ ἰσχυρίζονται ὅτι τὰ πάντα ὑφί-
στανται μεταβολὴ ρωτώντας: «Ἐννοεῖτε ὅτι καθετὶ ὑφίσταται
μεταβολὴ καὶ μὲ τοὺς δύο τρόπους, καὶ μετακινούμενο καὶ ἀλ-
λοιούμενο, ἢ ὅτι ἄλλο μεταβάλλεται καὶ μὲ τοὺς δύο τρόπους
καὶ ἄλλο διαφορετικά;».

ΘΕΟ. Δὲν ξέρω τί νὰ πῶ, μά τὸν Δία. Θαρρῶ ὅμως ὅτι θὰ
ἀπαντοῦσαν ὅτι καὶ μὲ τοὺς δύο.

ΣΩ. Ἀφοῦ ἀλλιῶς, φίλε μου, θὰ προέκυπτε ὅτι, κατ' αὐτούς,
καὶ θὰ μεταβάλλονται καὶ θὰ εἶναι στατικά, ὁπότε δὲν θὰ ἦταν
πιὸ σωστὸ νὰ πεῖ κάποιος ὅτι τὰ πάντα ὑφίστανται μεταβολὴ
ἀπὸ τὸ ὅτι τὰ πάντα βρίσκονται σὲ στάση.

ΘΕΟ. Πολὺ σωστὰ τὸ λές.

ΣΩ. Ἑπομένως, ἐφόσον αὐτὰ θὰ πρέπει νὰ ὑφίστανται μετα-
βολὴ καὶ ἡ ἀκινησία νὰ μὴν ὑπάρχει σὲ κανένα ἀπὸ αὐτά, θὰ
πρέπει ὅλα νὰ μεταβάλλονται μὲ κάθε λογῆς κίνηση.

ΘΕΟ. Εἶναι ἀναγκαῖο.

ΣΩ. Σκέψου, τώρα, τὸ ἑξῆς σημεῖο στὴ θεωρία τους, ὅσον
ἀφορᾶ τὴ γένεση τῆς θερμότητας ἢ τῆς λευκότητας ἢ ὁποιου-
δήποτε ἄλλου πράγματος: εἴπαμε πὼς ἰσχυρίζονται ὅτι συμ-
βαίνει κάπως ἔτσι, πὼς τὸ καθένα ἀπὸ αὐτὰ μετακινεῖται μαζὶ
μὲ τὴν αἴσθηση μεταξὺ τοῦ ἐνεργοῦντος καὶ τοῦ πάσχοντος,
καὶ ὅτι τὸ μὲν πάσχον γίνεται αἰσθανόμενο καὶ ὄχι αἴσθηση,
ἐνῶ τὸ ἐνεργοῦν γίνεται κάτι ποιόν, ἀλλὰ ὄχι ποιότητα, ἔτσι
δὲν εἶναι; Ἐνδέχεται, βέβαια, ἡ «ποιότητα» νὰ φαίνεται ἀλλό-
κοτη ὡς ὀνομασία καί, ὅταν εἰπωθεῖ, δὲν τὴν κατανοεῖς μονο-

b μανθάνεις ἀθρόον λεγόμενον· κατὰ μέρη οὖν ἄκουε. τὸ γὰρ ποιοῦν οὔτε θερμότης οὔτε λευκότης, θερμὸν δὲ καὶ λευκὸν γίγνεται, καὶ τἆλλα οὕτω· μέμνησαι γάρ που ἐν τοῖς πρόσθεν ὅτι οὕτως ἐλέγομεν, ἓν μηδὲν αὐτὸ καθ' αὑτὸ εἶναι, μηδ' αὖ τὸ ποιοῦν ἢ πάσχον, ἀλλ' ἐξ ἀμφοτέρων πρὸς ἄλληλα συγγιγνομένων τὰς αἰσθήσεις καὶ τὰ αἰσθητὰ ἀποτίκτοντα τὰ μὲν ποι' ἄττα γίγνεσθαι, τὰ δὲ αἰσθανόμενα.

ΘΕΟ. Μέμνημαι· πῶς δ' οὔ;

c ΣΩ. Τὰ μὲν τοίνυν ἄλλα χαίρειν ἐάσωμεν, εἴτε ἄλλως εἴτε οὕτως λέγουσιν· οὗ δ' ἕνεκα λέγομεν, τοῦτο μόνον φυλάττωμεν, ἐρωτῶντες· Κινεῖται καὶ ῥεῖ, ὥς φατε, τὰ πάντα; ἦ γάρ;

ΘΕΟ. Ναί.

ΣΩ. Οὐκοῦν ἀμφοτέρας ἃς διειλόμεθα κινήσεις, φερόμενά τε καὶ ἀλλοιούμενα;

ΘΕΟ. Πῶς δ' οὔ; εἴπερ γε δὴ τελέως κινήσεται.

ΣΩ. Εἰ μὲν τοίνυν ἐφέρετο μόνον, ἠλλοιοῦτο δὲ μή, εἴχομεν ἄν που εἰπεῖν οἷα ἄττα ῥεῖ τὰ φερόμενα· ἢ πῶς λέγομεν;

ΘΕΟ. Οὕτως.

d ΣΩ. Ἐπειδὴ δὲ οὐδὲ τοῦτο μένει, τὸ λευκὸν ῥεῖν τὸ ῥέον, ἀλλὰ μεταβάλλει, ὥστε καὶ αὐτοῦ τούτου εἶναι ῥοήν, τῆς λευκότητος, καὶ μεταβολὴν εἰς ἄλλην χρόαν, ἵνα μὴ ἁλῷ ταύτῃ μένον, ἆρά ποτε οἷόν τέ τι προσειπεῖν χρῶμα, ὥστε καὶ ὀρθῶς προσαγορεύειν;

ΘΕΟ. Καὶ τίς μηχανή, ὦ Σώκρατες; ἢ ἄλλο γέ τι τῶν τοιούτων, εἴπερ ἀεὶ λέγοντος ὑπεξέρχεται ἅτε δὴ ῥέον;

μιᾶς. Ἄκουσε λοιπὸν τὶς ἐπὶ μέρους περιπτώσεις. Διότι κάτι ποὺ ἐνεργεῖ δὲν γίνεται οὔτε θερμότητα οὔτε λευκότητα, ἀλλὰ θερμὸ καὶ λευκό, καὶ τὰ ἄλλα παρομοίως. Θυμᾶσαι ἀσφαλῶς ὅτι προηγουμένως εἴπαμε ἔτσι, πὼς κανένα τους, οὔτε τὸ ἐνεργοῦν οὔτε τὸ πάσχον, δὲν εἶναι ἕνα αὐτὸ καθαυτό, ἀλλὰ ὅτι ἀπὸ τὴ συνεύρεση καὶ τῶν δύο αὐτῶν μεταξύ τους γεννιοῦνται τὰ αἰσθητηριακὰ ἐνεργήματα καὶ τὰ αἰσθητά, ὁπότε τὰ δεύτερα γίνονται κάποια συγκεκριμένου εἴδους ποιὰ ἐνῶ τὰ πρῶτα αἰσθανόμενα.

ΘΕΟ. Τὸ θυμᾶμαι, πῶς θὰ γινόταν ἀλλιῶς;

ΣΩ. Τὰ ὑπόλοιπα, λοιπόν, ἂς τὰ ἀφήσουμε κατὰ μέρος, κατὰ πόσον τὰ ἐννοοῦν ἔτσι ἢ ἀλλιῶς. Ἂς ἐστιάσουμε μόνον σὲ αὐτὸ γιὰ χάρη τοῦ ὁποίου τὰ λέμε αὐτὰ καὶ ἂς τοὺς ρωτήσουμε: Λέτε πὼς τὰ πάντα ὑφίστανται μεταβολὴ καὶ εἶναι ρευστά; Ἢ ὄχι;

ΘΕΟ. Ναί.

ΣΩ. Ὁπότε λοιπόν, καὶ μὲ τὶς δύο μεταβολὲς ποὺ διακρίναμε, καὶ μετακινούμενα καὶ ἀλλοιούμενα;

ΘΕΟ. Πῶς ἀλλιῶς; Ἀφοῦ θὰ πρέπει νὰ ὑπόκεινται σὲ πλήρη μεταβολή.

ΣΩ. Ἂν τώρα μόνο μετακινοῦνταν καὶ δὲν ὑφίσταντο ἀλλοίωση, θὰ εἴχαμε νὰ ποῦμε τί ποιότητας εἶναι αὐτὰ ποὺ μετακινοῦνται καθὼς ὑπόκεινται σὲ ροή; Ἢ πῶς ἀλλιῶς;

ΘΕΟ. Ἔτσι.

ΣΩ. Ἐφόσον ὅμως οὔτε τοῦτο παραμένει, τὸ ὅτι αὐτὸ ποὺ ὑπόκειται σὲ ροὴ εἶναι τὸ λευκὸ ποὺ ρέει, ἀλλὰ θὰ μεταβάλλεται ἔτσι ὥστε νὰ ὑπόκειται σὲ ρευστότητα καὶ αὐτὴ ἡ ἴδια ἡ λευκότητα καὶ νὰ μετατρέπεται σὲ ἄλλο χρῶμα ἔτσι ποὺ νὰ μὴν ὑφίσταται παραμονὴ ὡς πρὸς αὐτήν, τότε θὰ ὑπάρχει ἄραγε κάτι τὸ ὁποῖο νὰ μπορεῖ νὰ ἀποκληθεῖ χρῶμα καὶ ἡ ὀνομασία αὐτὴ νὰ εἶναι σωστή;

ΘΕΟ. Μὲ ποιόν τρόπο θὰ μποροῦσε νὰ συμβαίνει αὐτό, Σωκράτη; Ἢ σὲ ποιό ἄλλο ἀπὸ αὐτοῦ τοῦ εἴδους τὰ πράγματα, ἐφόσον μέχρι νὰ τὸ πεῖς κάθε φορά, αὐτὸ θὰ ἔχει ξεφύγει ἐξαιτίας τῆς ρευστότητάς του;

ΣΩ. Τί δὲ περὶ αἰσθήσεως ἐροῦμεν ὁποιασοῦν, οἷον τῆς τοῦ
e ὁρᾶν ἢ ἀκούειν; μένειν ποτὲ ἐν αὐτῷ τῷ ὁρᾶν ἢ ἀκούειν;

ΘΕΟ. Οὔκουν δεῖ γε, εἴπερ πάντα κινεῖται.

ΣΩ. Οὔτε ἄρα ὁρᾶν προσρητέον τι μᾶλλον ἢ μὴ ὁρᾶν, οὐδέ τιν' ἄλλην αἴσθησιν μᾶλλον ἢ μή, πάντων γε πάντως κινου-
5 μένων.

ΘΕΟ. Οὐ γὰρ οὖν.

ΣΩ. Καὶ μὴν αἴσθησίς γε ἐπιστήμη, ὡς ἔφαμεν ἐγώ τε καὶ Θεαίτητος.

ΘΕΟ. Ἦν ταῦτα.

10 ΣΩ. Οὐδὲν ἄρα ἐπιστήμην μᾶλλον ἢ μὴ ἐπιστήμην ἀπεκρινάμεθα ἐρωτώμενοι ὅ τι ἐστὶν ἐπιστήμη.

183 ΘΕΟ. Ἐοίκατε.

ΣΩ. Καλὸν ἂν ἡμῖν συμβαίνοι τὸ ἐπανόρθωμα τῆς ἀποκρίσεως, προθυμηθεῖσιν ἀποδεῖξαι ὅτι πάντα κινεῖται, ἵνα δὴ ἐκείνη ἡ ἀπόκρισις ὀρθὴ φανῇ. τὸ δ', ὡς ἔοικεν, ἐφάνη, εἰ πάντα κινεῖ-
5 ται, πᾶσα ἀπόκρισις, περὶ ὅτου ἄν τις ἀποκρίνηται, ὁμοίως ὀρθὴ εἶναι, οὕτω τ' ἔχειν φάναι καὶ μὴ οὕτω, εἰ δὲ βούλει, γίγνεσθαι, ἵνα μὴ στήσωμεν αὐτοὺς τῷ λόγῳ.

ΘΕΟ. Ὀρθῶς λέγεις.

ΣΩ. Πλήν γε, ὦ Θεόδωρε, ὅτι "οὕτω" τε εἶπον καὶ "οὐχ
10 οὕτω." δεῖ δὲ οὐδὲ τοῦτο <τὸ> "οὕτω" λέγειν —οὐδὲ γὰρ ἂν ἔτι
b κινοῖτο <τὸ> "οὕτω"— οὐδ' αὖ "μὴ οὕτω" —οὐδὲ γὰρ τοῦτο κίνησις— ἀλλά τιν' ἄλλην φωνὴν θετέον τοῖς τὸν λόγον τοῦτον λέγουσιν, ὡς νῦν γε πρὸς τὴν αὐτῶν ὑπόθεσιν οὐκ ἔχουσι ῥήματα, εἰ μὴ ἄρα τὸ "οὐδ' οὕτως" μάλιστα δ' οὕτως ἂν αὐτοῖς
5 ἁρμόττοι, ἄπειρον λεγόμενον.

---

a10 < > Schleiermacher b1 < > Schleiermacher

ΣΩ. Καὶ τί θὰ ποῦμε, ὅσον ἀφορᾶ ἕνα ὁποιοδήποτε αἰσθητηριακὸ ἐνέργημα, ὅπως λ.χ. αὐτὸ τοῦ νὰ βλέπεις ἢ νὰ ἀκοῦς; Τὸ νὰ βλέπεις ἢ νὰ ἀκοῦς θὰ παραμένουν ποτὲ τὰ ἴδια;

ΘΕΟ. Ὄχι, δὲν θὰ πρέπει, ἂν τὰ πάντα ὑφίστανται μεταβολή.

ΣΩ. Ἑπομένως δὲν θὰ πρέπει νὰ λέμε ὅτι βλέπουμε ἀντὶ γιὰ τὸ ὅτι δὲν βλέπουμε κάτι, οὔτε ὅτι ἔχουμε κάποιο ἄλλο αἰσθητηριακὸ ἐρέθισμα ἀντὶ γιὰ τὸ ὅτι δὲν τὸ ἔχουμε, ἐφόσον τὰ πάντα θὰ ὑφίστανται μεταβολὴ μὲ κάθε τρόπο.

ΘΕΟ. Ὄχι, βέβαια.

ΣΩ. Ὡστόσο, ὅπως ἰσχυριστήκαμε ἐγὼ καὶ ὁ Θεαίτητος, ἡ αἴσθηση εἶναι γνώση.

ΘΕΟ. Ἔτσι εἰπώθηκε.

ΣΩ. Ἑπομένως, ἂν τὸ ἐρώτημα εἶναι τί εἶναι γνώση, ἡ ἀπάντηση ποὺ θὰ ἔχουμε δώσει δὲν θὰ ἀφορᾶ τὴ γνώση περισσότερο ἀπὸ τὴ μὴ γνώση.

ΘΕΟ. Ἔτσι μοιάζει.

ΣΩ. Συνεπῶς, θὰ εἶναι πολὺ ὡραία ἡ ἐπανόρθωση ποὺ κάναμε στὴν ἀπάντηση ποὺ δόθηκε προηγουμένως, ὅταν προσφερθήκαμε νὰ ὑποδείξουμε ὅτι τὰ πάντα ὑφίστανται μεταβολή, ἔτσι ὥστε ἡ ἀπάντηση ἐκείνη νὰ φανεῖ σωστή! Διότι, καθὼς φαίνεται, αὐτὸ ποὺ προέκυψε εἶναι ὅτι, ἂν τὰ πάντα ὑφίστανται μεταβολή, τότε κάθε ἀπάντηση, γιὰ ὁτιδήποτε καὶ ἂν πρόκειται, θὰ εἶναι ἐξίσου σωστή. Μπορεῖς νὰ λὲς ὅτι αὐτὰ εἶναι —ἤ, ἂν προτιμᾶς, ὅτι «γίνονται», ἔτσι ὥστε νὰ μὴν τοὺς καταστήσουμε μὲ τὴ διατύπωσή μας στατικούς— καὶ ἔτσι καὶ ὄχι ἔτσι.

ΘΕΟ. Σωστὰ τὸ λές.

ΣΩ. Μόνο πού, Θεόδωρε, μεταχειρίστηκες τὶς ἐκφράσεις «ἔτσι» καὶ «ὄχι ἔτσι», ἐνῶ θὰ πρέπει νὰ μὴν λέμε οὔτε κἂν τὸ «ἔτσι» —ἀφοῦ τὸ «ἔτσι» δὲν θὰ ὑφίστατο πιὰ μεταβολή—, ἀλλὰ οὔτε καὶ τὸ «ὄχι ἔτσι» —ἀφοῦ οὔτε αὐτὸ δηλώνει κίνηση—, ἀλλὰ θὰ πρέπει νὰ βροῦμε κάποιαν ἄλλη διατύπωση γιὰ ὅσους ὑποστηρίζουν αὐτὴ τὴν θεωρία, ἐφόσον τώρα πιὰ δὲν ἔχουν τὶς κατάλληλες ἐκφράσεις γιὰ νὰ διατυπώσουν τὴ θέση τους, ἐκτὸς ἂν ἴσως τὸ «ὄχι ἔτσι» τοὺς ταιριάζει, ἐπειδὴ ἔχει ἀκαθόριστη σημασία.

ΘΕΟ. Οἰκειοτάτη γοῦν διάλεκτος αὕτη αὐτοῖς.

ΣΩ. Οὐκοῦν, ὦ Θεόδωρε, τοῦ τε σοῦ ἑταίρου ἀπηλλάγμεθα, καὶ οὔπω συγχωροῦμεν αὐτῷ πάντ' ἄνδρα πάντων χρημάτων μέτρον εἶναι, ἂν μὴ φρόνιμός τις ᾖ· ἐπιστήμην τε αἴσθησιν οὐ
c συγχωρησόμεθα κατά γε τὴν τοῦ πάντα κινεῖσθαι μέθοδον, ἢ εἰ μή [τί] πως ἄλλως Θεαίτητος ὅδε λέγει.

ΘΕΟ. Ἄριστ' εἴρηκας, ὦ Σώκρατες· τούτων γὰρ περανθέντων καὶ ἐμὲ δεῖ ἀπηλλάχθαι σοι ἀποκρινόμενον κατὰ τὰς συν-
5 θήκας, ἐπειδὴ τὸ περὶ τοῦ Πρωταγόρου λόγου τέλος σχοίη.

ΘΕΑΙ. Μὴ πρίν γ' ἄν, ὦ Θεόδωρε, Σωκράτης τε καὶ σὺ τοὺς
d φάσκοντας αὖ τὸ πᾶν ἑστάναι διέλθητε, ὥσπερ ἄρτι προύθεσθε.

ΘΕΟ. Νέος ὤν, ὦ Θεαίτητε, τοὺς πρεσβυτέρους ἀδικεῖν διδάσκεις ὁμολογίας παραβαίνοντας; ἀλλὰ παρασκευάζου ὅπως
5 τῶν ἐπιλοίπων Σωκράτει δώσεις λόγον.

ΘΕΑΙ. Ἐάνπερ γε βούληται. ἥδιστα μεντἂν ἤκουσα περὶ ὧν λέγω.

ΘΕΟ. "Ἱππέας εἰς πεδίον" προκαλῇ Σωκράτη εἰς λόγους προκαλούμενος· ἐρώτα οὖν καὶ ἀκούσῃ.

10 ΣΩ. Ἀλλά μοι δοκῶ, ὦ Θεόδωρε, περί γε ὧν κελεύει Θεαίτη-
e τος οὐ πείσεσθαι αὐτῷ.

ΘΕΟ. Τί δὴ οὖν οὐ πείσεσθαι;

ΣΩ. Μέλισσον μὲν καὶ τοὺς ἄλλους, οἳ ἓν ἑστὸς λέγουσι τὸ πᾶν, αἰσχυνόμενος μὴ φορτικῶς σκοπῶμεν, ἧττον αἰσχύνομαι
5 ἢ ἕνα ὄντα Παρμενίδην. Παρμενίδης δέ μοι φαίνεται, τὸ τοῦ Ὁμήρου, "αἰδοῖός τέ μοι" εἶναι ἅμα "δεινός τε." συμπροσέμειξα
184 γὰρ δὴ τῷ ἀνδρὶ πάνυ νέος πάνυ πρεσβύτῃ, καί μοι ἐφάνη βάθος τι ἔχειν παντάπασι γενναῖον. φοβοῦμαι οὖν μὴ οὔτε τὰ λεγό-

c1 εἰ W Hicken: ἢ **β**T: secl. Burnet c2 [ ] Schanz c4 δεῖ **c** Hicken: ἔδει Burnet

ΘΕΟ. Ἡ διατύπωση αὐτὴ τοὺς ταιριάζει ἀπόλυτα.

ΣΩ. Ἑπομένως, Θεόδωρε, ἔχουμε ξεμπερδέψει μὲ τὸν φίλο σου, καὶ δὲν θὰ τοῦ παραχωροῦμε πιὰ ὅτι ὁ κάθε ἄνθρωπος εἶναι μέτρο ὅλων τῶν πραγμάτων, ἂν αὐτὸς δὲν ἔχει φρόνηση. Καὶ δὲν θὰ παραδεχθοῦμε ὅτι γνώση εἶναι ἡ αἴσθηση ἔχοντας ὡς βάση τὸ ὅτι τὰ πάντα ὑφίστανται μεταβολή, ἐκτὸς ἂν ὁ Θεαίτητος ἀπὸ ἐδῶ ἔχει ἄλλη ἄποψη.

ΘΕΟ. Πολὺ καλὰ τὰ εἶπες, Σωκράτη. Διότι ἀφοῦ ὁλοκληρώσαμε μὲ αὐτά, θὰ μπορῶ καὶ ἐγώ, σύμφωνα μὲ τὴ συμφωνία μας, νὰ ἀπαλλαγῶ ἀπὸ τὰ καθήκοντα τοῦ ἀποκρινομένου. Ἐφόσον μὲ τὴ θεωρία τοῦ Πρωταγόρα τελειώσαμε.[54]

ΘΕΑΙ. Ὄχι, Θεόδωρε, προτοῦ ὁ Σωκράτης καὶ ἐσὺ συζητήσετε, ὅπως τὸ προτείνατε προηγουμένως, καὶ ἐκείνους οἱ ὁποῖοι ὑποστηρίζουν ὅτι τὸ σύμπαν εἶναι στατικό.

ΘΕΟ. Εἶσαι νέος, Θεαίτητε, καὶ θέλεις νὰ ὑποδείξεις στοὺς μεγαλυτέρους σου νὰ παραβοῦν τὴ συμφωνία τους; Σὲ παρακαλῶ, ἑτοιμάσου νὰ ἐπιχειρηματολογήσεις μὲ τὸν Σωκράτη γιὰ ὅσα ἀπομένουν.

ΘΕΑΙ. Ἐὰν τὸ θέλει. Μολονότι θὰ μὲ εὐχαριστοῦσε πολὺ περισσότερο νὰ παρακολουθῶ τὴ συζήτηση.

ΘΕΟ. Τὸ νὰ προσκαλεῖς τὸν Σωκράτη σὲ συζήτηση εἶναι σὰν νὰ προσκαλεῖς τὸ ἱππικὸ νὰ πολεμήσει στὴν πεδιάδα. Ρώτα τον λοιπὸν ἐσύ, καὶ θὰ ἀκούσεις.

ΣΩ. Καὶ ὅμως, Θεόδωρε, νομίζω ὅτι δὲν θὰ ὑπακούσω σὲ αὐτὸ ποὺ ζητάει ὁ Θεαίτητος.

ΘΕΟ. Δὲν θὰ ὑπακούσεις; Τί θέλεις νὰ πεῖς;

ΣΩ. Ντρέπομαι κάπως μήπως φανοῦμε ἀνάξιοι στὸ νὰ ἐξετάσουμε τὸν Μέλισσο καὶ τοὺς ἄλλους οἱ ὁποῖοι λένε ὅτι τὸ σύμπαν εἶναι ἑνιαῖο καὶ στατικό, ἀλλὰ λιγότερο ἀπ' ὅσο ντρέπομαι ἕναν καὶ μόνο: τὸν Παρμενίδη. Ἐπειδὴ τὸν Παρμενίδη τὸν θεωρῶ, ὅπως λέει ὁ Ὅμηρος, ὡς μιὰ «σεβάσμια καὶ συνάμα τρομαχτικὴ μορφή».[55] Διότι, ὅταν ἤμουν πολὺ νέος τὸν συνάντησα σὲ μεγάλη ἡλικία, καὶ μοῦ ἔδωσε τὴν ἐντύπωση ὅτι εἶχε ἕνα ἐξαιρετικὰ βαθὺ πνεῦμα. Φοβᾶμαι, συνεπῶς, μήπως δὲν

μενα συνιῶμεν, τί τε διανοούμενος εἶπε πολὺ πλέον λειπώμεθα, καὶ τὸ μέγιστον, οὗ ἕνεκα ὁ λόγος ὥρμηται, ἐπιστήμης πέρι τί ποτ᾽ ἐστίν, ἄσκεπτον γένηται ὑπὸ τῶν ἐπεισκωμαζόντων λόγων, εἴ τις αὐτοῖς πείσεται· ἄλλως τε καὶ ὃν νῦν ἐγείρομεν πλήθει ἀμήχανον, εἴτε τις ἐν παρέργῳ σκέψεται, ἀνάξι᾽ ἂν πάθοι, εἴτε ἱκανῶς, μηκυνόμενος τὸ τῆς ἐπιστήμης ἀφανιεῖ. δεῖ δὲ οὐδέτερα, ἀλλὰ Θεαίτητον ὧν κυεῖ περὶ ἐπιστήμης πειρᾶσθαι ἡμᾶς τῇ μαιευτικῇ τέχνῃ ἀπολῦσαι.

ΘΕΟ. Ἀλλὰ χρή, εἰ δοκεῖ, οὕτω ποιεῖν.

ΣΩ. Ἔτι τοίνυν, ὦ Θεαίτητε, τοσόνδε περὶ τῶν εἰρημένων ἐπίσκεψαι. αἴσθησιν γὰρ δὴ ἐπιστήμην ἀπεκρίνω· ἦ γάρ;

ΘΕΑΙ. Ναί.

ΣΩ. Εἰ οὖν τίς σε ὧδ᾽ ἐρωτῴη· "τῷ τὰ λευκὰ καὶ μέλανα ὁρᾷ ἄνθρωπος καὶ τῷ τὰ ὀξέα καὶ βαρέα ἀκούει;" εἴποις ἂν οἶμαι "ὄμμασί τε καὶ ὠσίν."

ΘΕΑΙ. Ἔγωγε.

ΣΩ. Τὸ δὲ εὐχερὲς τῶν ὀνομάτων τε καὶ ῥημάτων καὶ μὴ δι᾽ ἀκριβείας ἐξεταζόμενον τὰ μὲν πολλὰ οὐκ ἀγεννές, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον ἀνελεύθερον, ἔστι δὲ ὅτε ἀναγκαῖον, οἷον καὶ νῦν ἀνάγκη ἐπιλαβέσθαι τῆς ἀποκρίσεως ἣν ἀπεκρίνῃ, ἢ οὐκ ὀρθή. σκόπει γάρ· ἀπόκρισις ποτέρα ὀρθοτέρα, ᾧ ὁρῶμεν τοῦτο εἶναι ὀφθαλμούς, ἢ δι᾽ οὗ ὁρῶμεν, καὶ ᾧ ἀκούομεν ὦτα, ἢ δι᾽ οὗ ἀκούομεν;

ΘΕΑΙ. Δι᾽ ὧν ἕκαστα αἰσθανόμεθα, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, μᾶλλον ἢ οἷς.

καταλαβαίνουμε οὔτε τὰ λεγόμενά του ἐπειδὴ εἴμαστε πολὺ λίγοι γιὰ νὰ καταλάβουμε τί εἶχε στὸν νοῦ του ὅταν τὰ ἔλεγε. Ἀλλὰ καὶ τὸ πιὸ σπουδαῖο εἶναι ὅτι ὁ σκοπὸς γιὰ τὸν ὁποῖο ξεκινήσαμε τὴ συζήτηση, τὸ τί εἶναι ἡ γνώση, θὰ κινδύνευε νὰ μείνει ἀνεξέταστο ἐξαιτίας τοῦ πλήθους τῶν ἐπιχειρημάτων ποὺ θὰ εἴχαμε νὰ ἀντιμετωπίσουμε, ἂν συμφωνούσαμε νὰ τὰ ἀκολουθήσουμε. Ἐξ ἄλλου, τὸ θέμα τὸ ὁποῖο ἐγείρουμε τώρα εἶναι ἀφάνταστα πολύπλοκο ὁπότε, ἂν κανεὶς ἐπιχειρήσει νὰ τὸ ἀντιμετωπίσει ὡς πάρεργο, εἴτε θὰ φανεῖ ἀνάξιος εἴτε, ἂν ἐπεκταθεῖ πολύ, τότε τὸ ζήτημα τῆς γνώσης θὰ ἐξαφανιστεῖ τελείως. Ὅμως δὲν θὰ πρέπει νὰ συμβεῖ τίποτε ἀπὸ τὰ δύο. Πρέπει ἑπομένως, χρησιμοποιώντας τὴ μαιευτικὴ τέχνη, νὰ προσπαθήσουμε νὰ ἀπελευθερώσουμε τὸν Θεαίτητο ἀπὸ ὅσα ἐγκυμονεῖ ὅσον ἀφορᾶ τὴ γνώση.

ΘΕΟ. Θὰ πρέπει νὰ κάνουμε ἔτσι, ἂν αὐτὸ πιστεύεις.[56]

ΣΩ. Ὁπότε λοιπόν, Θεαίτητε, μὲ βάση ὅσα ἔχουμε πεῖ ὡς τώρα ἐξέτασε τὸ ἑξῆς: ἔδωσες τὴν ἀπάντηση ὅτι ἡ αἴσθηση εἶναι γνώση, ἔτσι δὲν εἶναι;

ΘΕΑΙ. Ναί.

ΣΩ. Ἂν τώρα σὲ ρωτήσει κάποιος «Μὲ τί βλέπει ὁ ἄνθρωπος τὰ λευκὰ καὶ τὰ μαῦρα, καὶ μὲ τί ἀκούει τοὺς ὀξεῖς καὶ τοὺς βαρεῖς ἤχους;», θὰ τοῦ ἀπαντήσεις, ὑποθέτω, «Μὲ τὰ μάτια καὶ μὲ τὰ αὐτιά».

ΘΕΑΙ. Ἀσφαλῶς.

ΣΩ. Τὸ νὰ μεταχειρίζεται κάποιος τὶς λέξεις καὶ τὶς φράσεις καὶ νὰ μὴν τὶς ἐξετάζει ἐπακριβῶς δὲν εἶναι, ὡς ἐπὶ τὸ πλεῖστον, κάτι ἄπρεπο. Ἢ μᾶλλον, τὸ ἀντίθετο ἀπὸ αὐτὸ εἶναι ἀνελεύθερο· ὡστόσο ὁρισμένες φορὲς εἶναι ἀπαραίτητο, ὅπως καὶ τώρα εἶναι ἀναγκαῖο νὰ παρατηρήσουμε ὅτι ἡ ἀπάντηση τὴν ὁποία ἔδωσες δὲν εἶναι σωστή. Διότι κοίταξε τὸ ἑξῆς: τί εἶναι πιὸ σωστό, ὅτι τὰ μάτια εἶναι αὐτὸ μὲ τὸ ὁποῖο βλέπουμε, ἢ αὐτὸ διαμέσου τοῦ ὁποίου βλέπουμε, καὶ τὰ αὐτιὰ εἶναι αὐτὸ μὲ τὸ ὁποῖο ἀκοῦμε ἢ αὐτὸ διαμέσου τοῦ ὁποίου ἀκοῦμε;

ΘΕΑΙ. Νομίζω, Σωκράτη, ὅτι εἶναι αὐτὰ διαμέσου τῶν ὁποίων αἰσθανόμαστε μᾶλλον παρὰ μὲ τὰ ὁποῖα.

d ΣΩ. Δεινὸν γάρ που, ὦ παῖ, εἰ πολλαί τινες ἐν ἡμῖν ὥσπερ ἐν δουρείοις ἵπποις αἰσθήσεις ἐγκάθηνται, ἀλλὰ μὴ εἰς μίαν τινὰ ἰδέαν, εἴτε ψυχὴν εἴτε ὅ τι δεῖ καλεῖν, πάντα ταῦτα συντείνει, ᾗ διὰ τούτων οἷον ὀργάνων αἰσθανόμεθα ὅσα αἰσθητά.

ΘΕΑΙ. Ἀλλά μοι δοκεῖ οὕτω μᾶλλον ἢ ἐκείνως.

ΣΩ. Τοῦδέ τοι ἕνεκα αὐτά σοι διακριβοῦμαι, εἴ τινι ἡμῶν αὐτῶν τῷ αὐτῷ διὰ μὲν ὀφθαλμῶν ἐφικνούμεθα λευκῶν τε καὶ e μελάνων, διὰ δὲ τῶν ἄλλων ἑτέρων αὖ τινῶν· καὶ ἔξεις ἐρωτώμενος πάντα τὰ τοιαῦτα εἰς τὸ σῶμα ἀναφέρειν; ἴσως δὲ βέλτιον σὲ λέγειν αὐτὰ ἀποκρινόμενον μᾶλλον ἢ ἐμὲ ὑπὲρ σοῦ πολυπραγμονεῖν. καί μοι λέγε· θερμὰ καὶ σκληρὰ καὶ κοῦφα καὶ γλυκέα δι' ὧν αἰσθάνῃ, ἆρα οὐ τοῦ σώματος ἕκαστα τίθης; ἢ ἄλλου τινός;

ΘΕΑΙ. Οὐδενὸς ἄλλου.

ΣΩ. Ἦ καὶ ἐθελήσεις ὁμολογεῖν ἃ δι' ἑτέρας δυνάμεως αἰσθάνῃ, ἀδύνατον εἶναι δι' ἄλλης ταῦτ' αἰσθέσθαι, οἷον ἃ δι' ἀκοῆς, δι' ὄψεως, ἢ ἃ δι' ὄψεως, δι' ἀκοῆς;

ΘΕΑΙ. Πῶς γὰρ οὐκ ἐθελήσω;

ΣΩ. Εἴ τι ἄρα περὶ ἀμφοτέρων διανοῇ, οὐκ ἂν διά γε τοῦ ἑτέρου ὀργάνου, οὐδ' αὖ διὰ τοῦ ἑτέρου περὶ ἀμφοτέρων αἰσθάνοι' ἄν.

ΘΕΑΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Περὶ δὴ φωνῆς καὶ περὶ χρόας πρῶτον μὲν αὐτὸ τοῦτο περὶ ἀμφοτέρων [ᾗ] διανοῇ, ὅτι ἀμφοτέρω ἐστόν;

ΘΕΑΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ ὅτι ἑκάτερον ἑκατέρου μὲν ἕτερον, ἑαυτῷ δὲ ταὐτόν;

---

a9 ᾗ om. W, seclusi: ten. Burnet, Hicken

ΣΩ. Ναί, διότι θὰ ἦταν παράξενο, παιδί μου, ἂν εἴχαμε ἐγκατεστημένες μέσα μας πολλὲς καὶ διάφορες αἰσθήσεις σὰν σὲ Δούρειους ἵππους, καὶ ἂν δὲν συνέκλιναν ὅλα αὐτὰ σὲ μιὰ συγκεκριμένη φύση, εἴτε ψυχὴ πρέπει νὰ τὴν ὀνομάσουμε εἴτε ὁτιδήποτε ἄλλο, μὲ τὴν ὁποία αἰσθανόμαστε ὅσα εἶναι αἰσθητὰ διαμέσου ἐκείνων τῶν ὀργάνων.

ΘΕΑΙ. Ἔτσι πιστεύω μᾶλλον, παρὰ μὲ τὸν ἄλλον τρόπο.

ΣΩ. Ὁ λόγος γιὰ τὸν ὁποῖο σοῦ τὰ ξεκαθαρίζω αὐτὰ εἶναι γιὰ νὰ μοῦ πεῖς ἂν ὑπάρχει σὲ ἐμᾶς κάτι, τὸ ἴδιο κάθε φορά, μὲ τὸ ὁποῖο προσεγγίζουμε διαμέσου τῶν ματιῶν καὶ τὰ λευκὰ καὶ τὰ μαῦρα, καθὼς ἐπίσης τὰ ὑπόλοιπα διαμέσου τῶν ἄλλων. Καί, ἐφόσον ἐρωτηθεῖς, μπορεῖς νὰ πεῖς ὅτι τὰ ἀνάγεις ὅλα αὐτὰ στὸ σῶμα; Ἴσως ὅμως θὰ εἶναι προτιμότερο νὰ τὰ πεῖς αὐτὰ ἐσὺ ἀπαντώντας, ἀπὸ τὸ νὰ τὰ λέω ἐγὼ γιὰ λογαριασμό σου. Πές μου λοιπόν: αὐτὰ διαμέσου τῶν ὁποίων αἰσθάνεσαι τὰ θερμὰ καὶ τὰ σκληρὰ καὶ τὰ ἐλαφρὰ καὶ τὰ γλυκὰ δὲν θεωρεῖς ὅτι ὅλα ἀνήκουν στὸ σῶμα; Ἢ σὲ κάτι ἄλλο;

ΘΕΑΙ. Ὄχι, σὲ τίποτε ἄλλο.

ΣΩ. Καὶ εἶσαι σύμφωνος ὅτι ἐκεῖνα ποὺ αἰσθάνεσαι διαμέσου τῆς μιᾶς δύναμης εἶναι ἀδύνατον νὰ τὰ αἰσθανθεῖς διαμέσου κάποιας ἄλλης, γιὰ παράδειγμα, διαμέσου τῆς ὅρασης αὐτὰ ποὺ αἰσθάνεσαι διαμέσου τῆς ἀκοῆς, ἢ τὰ διαμέσου τῆς ἀκοῆς διαμέσου τῆς ὅρασης;

ΘΕΑΙ. Καὶ βέβαια θὰ συμφωνήσω.

ΣΩ. Ἂν τώρα, λοιπόν, σκέφτεσαι κάτι γιὰ τὰ δύο αὐτά, δὲν θὰ μπορεῖ νὰ τὰ ἀντιλαμβάνεσαι καὶ τὰ δύο διαμέσου τοῦ ἑνὸς ὀργάνου, ἀλλὰ οὔτε καὶ διαμέσου τοῦ ἄλλου.

ΘΕΑΙ. Ἀσφαλῶς ὄχι.

ΣΩ. Τώρα, ὅσον ἀφορᾶ τὸν ἦχο καὶ τὸ χρῶμα πρῶτα, δὲν θὰ διανοεῖται τὸ ἴδιο πράγμα ὅτι καθένα ἀπὸ τὰ δυό τους εἶναι κάτι;

ΘΕΑΙ. Βεβαίως.

ΣΩ. Ἀλλὰ ἐπίσης ὅτι τὸ καθένα τους εἶναι ἕτερο ἀπὸ τὸ ἄλλο καὶ ταυτὸ μὲ τὸν ἑαυτό του;

ΘΕΑΙ. Τί μήν;

ΣΩ. Καὶ ὅτι ἀμφοτέρω δύο, ἑκάτερον δὲ ἕν;

ΘΕΑΙ. Καὶ τοῦτο.

ΣΩ. Οὐκοῦν καὶ εἴτε ἀνομοίω εἴτε ὁμοίω ἀλλήλοιν, δυνατὸς εἶ ἐπισκέψασθαι;

ΘΕΑΙ. Ἴσως.

ΣΩ. Ταῦτα δὴ πάντα διὰ τίνος περὶ αὐτοῖν διανοῇ; οὔτε γὰρ δι' ἀκοῆς οὔτε δι' ὄψεως οἷόν τε τὸ κοινὸν λαμβάνειν περὶ αὐτῶν. ἔτι δὲ καὶ τόδε τεκμήριον περὶ οὗ λέγομεν· εἰ γὰρ δυνατὸν εἴη ἀμφοτέρω σκέψασθαι ἆρ' ἐστὸν ἁλμυρὼ ἢ οὔ, οἶσθ' ὅτι ἔξεις εἰπεῖν ᾧ ἐπισκέψῃ, καὶ τοῦτο οὔτε ὄψις οὔτε ἀκοὴ φαίνεται, ἀλλά τι ἄλλο.

ΘΕΑΙ. Τί δ' οὐ μέλλει, ἥ γε διὰ τῆς γλώττης δύναμις;

ΣΩ. Καλῶς λέγεις. ἡ δὲ δὴ διὰ τίνος δύναμις τό τ' ἐπὶ πᾶσι κοινὸν καὶ τὸ ἐπὶ τούτοις δηλοῖ σοι, ᾧ τὸ "ἔστιν" ἐπονομάζεις καὶ τὸ "οὐκ ἔστι" καὶ ἃ νυνδὴ ἠρωτῶμεν περὶ αὐτῶν; τούτοις πᾶσι ποῖα ἀποδώσεις ὄργανα δι' ὧν αἰσθάνεται ἡμῶν τὸ αἰσθανόμενον ἕκαστα;

ΘΕΑΙ. Οὐσίαν λέγεις καὶ τὸ μὴ εἶναι, καὶ ὁμοιότητα καὶ ἀνομοιότητα, καὶ τὸ ταὐτόν τε καὶ τὸ ἕτερον, ἔτι δὲ ἕν τε καὶ τὸν ἄλλον ἀριθμὸν περὶ αὐτῶν. δῆλον δὲ ὅτι καὶ ἄρτιόν τε καὶ περιττὸν ἐρωτᾷς, καὶ τἆλλα ὅσα τούτοις ἕπεται, διὰ τίνος ποτὲ τῶν τοῦ σώματος τῇ ψυχῇ αἰσθανόμεθα.

ΣΩ. Ὑπέρευ, ὦ Θεαίτητε, ἀκολουθεῖς, καὶ ἔστιν ἃ ἐρωτῶ αὐτὰ ταῦτα.

ΘΕΑΙ. Ἀλλὰ μὰ Δία, ὦ Σώκρατες, ἔγωγε οὐκ ἂν ἔχοιμι εἰπεῖν, πλήν γ' ὅτι μοι δοκεῖ τὴν ἀρχὴν οὐδ' εἶναι τοιοῦτον οὐδὲν τούτοις ὄργανον ἴδιον ὥσπερ ἐκείνοις, ἀλλ' αὐτὴ δι' αὑτῆς ἡ ψυχὴ τὰ κοινά μοι φαίνεται περὶ πάντων ἐπισκοπεῖν.

ΘΕΑΙ. Πῶς ἀλλιῶς;

ΣΩ. Καὶ ὅτι καὶ τὰ δυὸ μαζὶ εἶναι δύο, ἐνῶ καθένα τους ἕνα;

ΘΕΑΙ. Καὶ αὐτό.

ΣΩ. Δὲν θὰ μπορεῖς ἑπομένως νὰ ἐξετάσεις ἐπίσης ἂν εἶναι ἀνόμοια ἢ ὅμοια μεταξύ τους;

ΘΕΑΙ. Ἐνδεχομένως.

ΣΩ. Διαμέσου τίνος, λοιπόν, σκέφτεσαι γιὰ ὅλα αὐτά; Διότι βέβαια, δὲν εἶναι διαμέσου τῆς ἀκοῆς οὔτε διαμέσου τῆς ὅρασης ποὺ μπορεῖς νὰ ἀντιληφθεῖς αὐτὸ ποὺ εἶναι κοινὸ ὅσον ἀφορᾶ ἐκεῖνα. Ὑπάρχει ἀκόμη τὸ ἑξῆς τεκμήριο γι' αὐτὸ ποὺ λέμε: διότι ἂν ὑποθέσουμε ὅτι θὰ ἦταν δυνατὸν νὰ σκεφθοῦμε καὶ γιὰ τὰ δύο ἂν εἶναι ἁλμυρὰ ἢ ὄχι, γνωρίζεις ὅτι θὰ εἶχες νὰ πεῖς μὲ τί θὰ τὸ ἐξέταζες, καὶ τοῦτο προφανῶς δὲν θὰ ἦταν οὔτε ἡ ὅραση οὔτε ἡ ἀκοή, ἀλλὰ κάτι ἄλλο.

ΘΕΑΙ. Μὰ εἶναι σαφὲς ὅτι θὰ ἦταν ἡ δύναμη ποὺ ἐνεργεῖ διαμέσου τῆς γλώσσας.

ΣΩ. Καλὰ τὸ λές. Καὶ ἡ δύναμη ποὺ ἐνεργεῖ διαμέσου τίνος εἶναι αὐτὴ ποὺ σοῦ φανερώνει αὐτὸ ποὺ εἶναι κοινὸ σὲ τοῦτα καὶ σὲ ὅλα τὰ πράγματα, μὲ τὸ ὁποῖο λέμε τὸ «ἰσχύει» ἢ τὸ «δὲν ἰσχύει» καὶ αὐτὰ γιὰ τὰ ὁποῖα ρωτούσαμε μόλις τώρα; Γιὰ ὅλα αὐτά, ποιά ὄργανα θὰ ἀναφέρεις διαμέσου τῶν ὁποίων ἐκεῖνο ποὺ αἰσθάνεται αἰσθάνεται τὸ καθένα ἀπὸ ἐκεῖνα;

ΘΕΑΙ. Ἐννοεῖς τὴν οὐσία καὶ τὸ μὴ εἶναι, τὴν ὁμοιότητα καὶ τὴν ἀνομοιότητα, τὴν ταυτότητα καὶ τὴν ἑτερότητα, καθὼς ἐπίσης τὸ ἕνα καὶ τοὺς ἄλλους ἀριθμοὺς ποὺ τὰ ἀφοροῦν. Καὶ εἶναι προφανὲς ὅτι ρωτᾶς καὶ γιὰ τὸ ζυγὸ καὶ τὸ μονὸ καὶ γιὰ ὅλα τὰ ὑπόλοιπα ποὺ ἔπονται ἀπὸ αὐτά, διαμέσου τίνος ἀπὸ τὰ μέρη τοῦ σώματος τὰ αἰσθανόμαστε μὲ τὴν ψυχή μας;

ΣΩ. Μὲ παρακολουθεῖς ὑπέροχα, Θεαίτητε. Αὐτὰ ἀκριβῶς εἶναι ποὺ ρωτῶ.

ΘΕΑΙ. Ἀλλά, μά τὸν Δία, ἐγὼ δὲν ἔχω τί νὰ ἀπαντήσω, παρὰ μόνον ὅτι, κατ' ἀρχήν, δὲν ὑπάρχει κάποιο τέτοιο ὄργανο ποὺ νὰ εἶναι ἰδιαίτερο γι' αὐτά, ἀλλὰ μοῦ φαίνεται πὼς ἡ ἴδια ἡ ψυχὴ διαμέσου τοῦ ἑαυτοῦ της ἐξετάζει αὐτὰ ποὺ εἶναι κοινὰ καὶ τὰ ἀφοροῦν ὅλα.[57]

ΣΩ. Καλὸς γὰρ εἶ, ὦ Θεαίτητε, καὶ οὐχ, ὡς ἔλεγε Θεόδωρος, αἰσχρός· ὁ γὰρ καλῶς λέγων καλός τε καὶ ἀγαθός. πρὸς δὲ τῷ καλῷ εὖ ἐποίησάς με μάλα συχνοῦ λόγου ἀπαλλάξας, εἰ φαίνεταί σοι τὰ μὲν αὐτὴ δι' αὑτῆς ἡ ψυχὴ ἐπισκοπεῖν, τὰ δὲ διὰ τῶν τοῦ σώματος δυνάμεων. τοῦτο γὰρ ἦν ὃ καὶ αὐτῷ μοι ἐδόκει, ἐβουλόμην δὲ καὶ σοὶ δόξαι.

186 ΘΕΑΙ. Ἀλλὰ μὴν φαίνεταί γε.

ΣΩ. Ποτέρων οὖν τίθης τὴν οὐσίαν; τοῦτο γὰρ μάλιστα ἐπὶ πάντων παρέπεται.

ΘΕΑΙ. Ἐγὼ μὲν ὧν αὐτὴ ἡ ψυχὴ καθ' αὑτὴν ἐπορέγεται.

ΣΩ. Ἦ καὶ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον καὶ τὸ ταὐτὸν καὶ ἕτερον;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τί δέ; καλὸν καὶ αἰσχρὸν καὶ ἀγαθὸν καὶ κακόν;

ΘΕΑΙ. Καὶ τούτων μοι δοκεῖ ἐν τοῖς μάλιστα πρὸς ἄλληλα σκοπεῖσθαι τὴν οὐσίαν, ἀναλογιζομένη ἐν ἑαυτῇ τὰ γεγονότα
b καὶ τὰ παρόντα πρὸς τὰ μέλλοντα.

ΣΩ. Ἔχε δή· ἄλλο τι τοῦ μὲν σκληροῦ τὴν σκληρότητα διὰ τῆς ἐπαφῆς αἰσθήσεται, καὶ τοῦ μαλακοῦ τὴν μαλακότητα ὡσαύτως;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τὴν δέ γε οὐσίαν καὶ ὅτι ἐστὸν καὶ τὴν ἐναντιότητα πρὸς ἀλλήλω καὶ τὴν οὐσίαν αὖ τῆς ἐναντιότητος αὐτὴ ἡ ψυχὴ ἐπανιοῦσα καὶ συμβάλλουσα πρὸς ἄλληλα κρίνειν πειρᾶται ἡμῖν.

ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν τὰ μὲν εὐθὺς γενομένοις πάρεστι φύσει αἰσθάνεσθαι ἀνθρώποις τε καὶ θηρίοις, ὅσα διὰ τοῦ σώματος παθή-
c

ΣΩ. Εἶσαι ὡραῖος, Θεαίτητε, καὶ ὄχι ἄσχημος ὅπως ἔλεγε ὁ Θεόδωρος. Ἐπειδὴ ὅποιος λέει σωστὰ καὶ ὡραῖα πράγματα εἶναι καὶ ὡραῖος καὶ καλός. Καὶ ἐκτὸς ἀπὸ ὅσα ὡραῖα εἶπες, μοῦ ἔκανες μεγάλη χάρη ἀπαλλάσσοντάς με ἀπὸ μιὰ πολὺ ἐκτεταμένη ἐπιχειρηματολογία, ἐφόσον θεωρεῖς φανερὸ ὅτι σὲ ἄλλα ἡ ψυχὴ κάνει τὴν ἐξέταση ἡ ἴδια διαμέσου τοῦ ἑαυτοῦ της, καὶ σὲ ἄλλα διαμέσου τῶν δυνάμεων τοῦ σώματος. Διότι αὐτὸ ἀκριβῶς εἶναι ποὺ πίστευα καὶ ἐγώ, καὶ ἤθελα νὰ τὸ πιστέψεις καὶ ἐσύ.

ΘΕΑΙ. Μὰ καὶ βέβαια, εἶναι προφανές.

ΣΩ. Σὲ ποιά, λοιπόν, θὰ τοποθετοῦσες τὴν οὐσία; Ἀφοῦ αὐτὴ περισσότερο ἀπ' ὅλα συνοδεύει τὰ πάντα.

ΘΕΑΙ. Σὲ ἐκεῖνα ποὺ ἡ ψυχὴ ἀντιλαμβάνεται ἀπὸ μόνη της.

ΣΩ. Ἀλλὰ καὶ τὸ ὅμοιο καὶ τὸ ἀνόμοιο, καὶ τὸ ταυτὸ καὶ τὸ ἕτερο;

ΘΕΑΙ. Ναί.

ΣΩ. Καὶ τί ὅσον ἀφορᾶ τὸ ὡραῖο καὶ τὸ ἄσχημο, καὶ τὸ καλὸ καὶ τὸ κακό;

ΘΕΑΙ. Καὶ σὲ αὐτά, νομίζω ὅτι ἡ ψυχὴ παρατηρεῖ τὴν οὐσία τους πιὸ πολὺ μὲ βάση τὴ σχέση τους μεταξύ τους, καθὼς ἀνασκοπεῖ μέσα της τὰ παρελθόντα καὶ τὰ παρόντα ὡς πρὸς τὰ μελλοντικά.

ΣΩ. Στάσου μιὰ στιγμή. Τὴν σκληρότητα τοῦ σκληροῦ, καθὼς ἐπίσης τὴ μαλακότητα τοῦ μαλακοῦ, τὶς αἰσθάνεσαι διαμέσου τῆς ἁφῆς, ἔτσι δὲν εἶναι;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τὴν οὐσία τους, τώρα, καὶ τὸ ὅτι εἶναι κάτι, καθὼς καὶ τὴν ἐναντιότητα μεταξύ τους, ἀλλὰ καὶ τὴν οὐσία τῆς ἐναντιότητας, δὲν ἐπιχειρεῖ ἡ ψυχὴ νὰ τὰ κρίνει ἡ ἴδια ὅταν ἐπανέρχεται σὲ αὐτὰ καὶ τὰ συγκρίνει μεταξύ τους;

ΘΕΑΙ. Ἀσφαλῶς.

ΣΩ. Ἄλλα, ἑπομένως, αὐτὰ τὰ ὁποῖα τείνουν διαμέσου τοῦ σώματος πρὸς τὴν ψυχή, εἶναι ἐξ ἀρχῆς δεδομένο ὅτι τὰ αἰσθάνονται οἱ ἄνθρωποι καὶ τὰ θηρία ἀπὸ τὴ φύση τους, ἐνῶ οἱ

ΣΩ. Καλὸς γὰρ εἶ, ὦ Θεαίτητε, καὶ οὐχ, ὡς ἔλεγε Θεόδωρος, αἰσχρός· ὁ γὰρ καλῶς λέγων καλός τε καὶ ἀγαθός. πρὸς δὲ τῷ καλῷ εὖ ἐποίησάς με μάλα συχνοῦ λόγου ἀπαλλάξας, εἰ φαίνεταί σοι τὰ μὲν αὐτὴ δι' αὑτῆς ἡ ψυχὴ ἐπισκοπεῖν, τὰ δὲ διὰ τῶν τοῦ σώματος δυνάμεων. τοῦτο γὰρ ἦν ὃ καὶ αὐτῷ μοι ἐδόκει, ἐβουλόμην δὲ καὶ σοὶ δόξαι.

186 ΘΕΑΙ. Ἀλλὰ μὴν φαίνεταί γε.

ΣΩ. Ποτέρων οὖν τίθης τὴν οὐσίαν; τοῦτο γὰρ μάλιστα ἐπὶ πάντων παρέπεται.

ΘΕΑΙ. Ἐγὼ μὲν ὧν αὐτὴ ἡ ψυχὴ καθ' αὑτὴν ἐπορέγεται.

ΣΩ. Ἦ καὶ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον καὶ τὸ ταὐτὸν καὶ ἕτερον;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τί δέ; καλὸν καὶ αἰσχρὸν καὶ ἀγαθὸν καὶ κακόν;

ΘΕΑΙ. Καὶ τούτων μοι δοκεῖ ἐν τοῖς μάλιστα πρὸς ἄλληλα σκοπεῖσθαι τὴν οὐσίαν, ἀναλογιζομένη ἐν ἑαυτῇ τὰ γεγονότα
b καὶ τὰ παρόντα πρὸς τὰ μέλλοντα.

ΣΩ. Ἔχε δή· ἄλλο τι τοῦ μὲν σκληροῦ τὴν σκληρότητα διὰ τῆς ἐπαφῆς αἰσθήσεται, καὶ τοῦ μαλακοῦ τὴν μαλακότητα ὡσαύτως;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τὴν δέ γε οὐσίαν καὶ ὅτι ἐστὸν καὶ τὴν ἐναντιότητα πρὸς ἀλλήλω καὶ τὴν οὐσίαν αὖ τῆς ἐναντιότητος αὐτὴ ἡ ψυχὴ ἐπανιοῦσα καὶ συμβάλλουσα πρὸς ἄλληλα κρίνειν πειρᾶται ἡμῖν.

ΘΕΑΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν τὰ μὲν εὐθὺς γενομένοις πάρεστι φύσει αἰσθάνεσθαι ἀνθρώποις τε καὶ θηρίοις, ὅσα διὰ τοῦ σώματος παθή-
c

ΣΩ. Εἶσαι ὡραῖος, Θεαίτητε, καὶ ὄχι ἄσχημος ὅπως ἔλεγε ὁ Θεόδωρος. Ἐπειδὴ ὅποιος λέει σωστὰ καὶ ὡραῖα πράγματα εἶναι καὶ ὡραῖος καὶ καλός. Καὶ ἐκτὸς ἀπὸ ὅσα ὡραῖα εἶπες, μοῦ ἔκανες μεγάλη χάρη ἀπαλλάσσοντάς με ἀπὸ μιὰ πολὺ ἐκτεταμένη ἐπιχειρηματολογία, ἐφόσον θεωρεῖς φανερὸ ὅτι σὲ ἄλλα ἡ ψυχὴ κάνει τὴν ἐξέταση ἡ ἴδια διαμέσου τοῦ ἑαυτοῦ της, καὶ σὲ ἄλλα διαμέσου τῶν δυνάμεων τοῦ σώματος. Διότι αὐτὸ ἀκριβῶς εἶναι ποὺ πίστευα καὶ ἐγώ, καὶ ἤθελα νὰ τὸ πιστέψεις καὶ ἐσύ.

ΘΕΑΙ. Μὰ καὶ βέβαια, εἶναι προφανές.

ΣΩ. Σὲ ποιά, λοιπόν, θὰ τοποθετοῦσες τὴν οὐσία; Ἀφοῦ αὐτὴ περισσότερο ἀπ' ὅλα συνοδεύει τὰ πάντα.

ΘΕΑΙ. Σὲ ἐκεῖνα ποὺ ἡ ψυχὴ ἀντιλαμβάνεται ἀπὸ μόνη της.

ΣΩ. Ἀλλὰ καὶ τὸ ὅμοιο καὶ τὸ ἀνόμοιο, καὶ τὸ ταυτὸ καὶ τὸ ἕτερο;

ΘΕΑΙ. Ναί.

ΣΩ. Καὶ τί ὅσον ἀφορᾶ τὸ ὡραῖο καὶ τὸ ἄσχημο, καὶ τὸ καλὸ καὶ τὸ κακό;

ΘΕΑΙ. Καὶ σὲ αὐτά, νομίζω ὅτι ἡ ψυχὴ παρατηρεῖ τὴν οὐσία τους πιὸ πολὺ μὲ βάση τὴ σχέση τους μεταξύ τους, καθὼς ἀνασκοπεῖ μέσα της τὰ παρελθόντα καὶ τὰ παρόντα ὡς πρὸς τὰ μελλοντικά.

ΣΩ. Στάσου μιὰ στιγμή. Τὴν σκληρότητα τοῦ σκληροῦ, καθὼς ἐπίσης τὴ μαλακότητα τοῦ μαλακοῦ, τὶς αἰσθάνεσαι διαμέσου τῆς ἁφῆς, ἔτσι δὲν εἶναι;

ΘΕΑΙ. Ναί.

ΣΩ. Τὴν οὐσία τους, τώρα, καὶ τὸ ὅτι εἶναι κάτι, καθὼς καὶ τὴν ἐναντιότητα μεταξύ τους, ἀλλὰ καὶ τὴν οὐσία τῆς ἐναντιότητας, δὲν ἐπιχειρεῖ ἡ ψυχὴ νὰ τὰ κρίνει ἡ ἴδια ὅταν ἐπανέρχεται σὲ αὐτὰ καὶ τὰ συγκρίνει μεταξύ τους;

ΘΕΑΙ. Ἀσφαλῶς.

ΣΩ. Ἄλλα, ἑπομένως, αὐτὰ τὰ ὁποῖα τείνουν διαμέσου τοῦ σώματος πρὸς τὴν ψυχή, εἶναι ἐξ ἀρχῆς δεδομένο ὅτι τὰ αἰσθάνονται οἱ ἄνθρωποι καὶ τὰ θηρία ἀπὸ τὴ φύση τους, ἐνῶ οἱ

ματα ἐπὶ τὴν ψυχὴν τείνει· τὰ δὲ περὶ τούτων ἀναλογίσματα πρός τε οὐσίαν καὶ ὠφέλειαν μόγις καὶ ἐν χρόνῳ διὰ πολλῶν πραγμάτων καὶ παιδείας παραγίγνεται οἷς ἂν καὶ παραγίγνηται;

ΘΕΑΙ. Παντάπασι μὲν οὖν.

ΣΩ. Οἷόν τε οὖν ἀληθείας τυχεῖν, ᾧ μηδὲ οὐσίας;

ΘΕΑΙ. Ἀδύνατον.

ΣΩ. Οὗ δὲ ἀληθείας τις ἀτυχήσει, ποτὲ τούτου ἐπιστήμων ἔσται;

d ΘΕΑΙ. Καὶ πῶς ἄν, ὦ Σώκρατες;

ΣΩ. Ἐν μὲν ἄρα τοῖς παθήμασιν οὐκ ἔνι ἐπιστήμη, ἐν δὲ τῷ περὶ ἐκείνων συλλογισμῷ· οὐσίας γὰρ καὶ ἀληθείας ἐνταῦθα μέν, ὡς ἔοικε, δυνατὸν ἅψασθαι, ἐκεῖ δὲ ἀδύνατον.

ΘΕΑΙ. Φαίνεται.

ΣΩ. Ἦ οὖν ταὐτὸν ἐκεῖνό τε καὶ τοῦτο καλεῖς, τοσαύτας διαφορὰς ἔχοντε;

ΘΕΑΙ. Οὔκουν δὴ δίκαιόν γε.

ΣΩ. Τί οὖν δὴ ἐκείνῳ ἀποδίδως ὄνομα, τῷ ὁρᾶν ἀκούειν ὀσφραίνεσθαι ψύχεσθαι θερμαίνεσθαι;

e ΘΕΑΙ. Αἰσθάνεσθαι ἔγωγε· τί γὰρ ἄλλο;

ΣΩ. Σύμπαν ἄρ' αὐτὸ καλεῖς αἴσθησιν;

ΘΕΑΙ. Ἀνάγκη.

ΣΩ. Ὧι γε, φαμέν, οὐ μέτεστιν ἀληθείας ἅψασθαι· οὐδὲ γὰρ οὐσίας.

ΘΕΑΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Οὐδ' ἄρ' ἐπιστήμης.

ΘΕΑΙ. Οὐ γάρ.

ΣΩ. Οὐκ ἄρ' ἂν εἴη ποτέ, ὦ Θεαίτητε, αἴσθησίς τε καὶ ἐπιστήμη ταὐτόν.

ΘΕΑΙ. Οὐ φαίνεται, ὦ Σώκρατες. καὶ μάλιστά γε νῦν καταφανέστατον γέγονεν ἄλλο ὂν αἰσθήσεως ἐπιστήμη.

ἀναλογισμοὶ γι' αὐτὰ ὅσον ἀφορᾶ καὶ τὴν οὐσία καὶ τὴν ὠφέλειά τους ἐπέρχονται, σὲ ὅσους ἐπέρχονται, μόνο μετὰ ἀπὸ πολὺν καιρό, καὶ μετὰ ἀπὸ πολλὴ προσπάθεια καὶ ἐκπαίδευση;

ΘΕΑΙ. Ὁπωσδήποτε.

ΣΩ. Μπορεῖ, τώρα, κάποιος νὰ φτάσει στὴν ἀλήθεια, ἂν δὲν ἔχει φτάσει στὴν οὐσία;

ΘΕΑΙ. Ἀδύνατον.

ΣΩ. Καὶ ὅποιος ἔχει ἀστοχήσει ὡς πρὸς τὴν ἀλήθεια γιὰ κάτι, εἶναι δυνατὸν νὰ ἔχει γνώση γι' αὐτό;

ΘΕΑΙ. Πῶς θὰ γινόταν αὐτό, Σωκράτη;

ΣΩ. Ἑπομένως, δὲν ἐνυπάρχει γνώση στὰ ἴδια τὰ αἰσθητηριακὰ ἐρεθίσματα, ἀλλὰ στὴ συλλογιστικὴ διαδικασία ποὺ τὰ ἀφορᾶ. Διότι, καθὼς φαίνεται, εἶναι αὐτὴ ποὺ μπορεῖ νὰ ἔρθει σὲ ἐπαφὴ μὲ τὴν οὐσία καὶ τὴν ἀλήθεια, ἐνῶ γιὰ ἐκεῖνα τοῦτο εἶναι ἀδύνατον.

ΘΕΑΙ. Εἶναι φανερό.[58]

ΣΩ. Ἔ, λοιπόν, θὰ ἀποκαλέσεις καὶ τὸ ἕνα καὶ τὸ ἄλλο τὸ ἴδιο, ὅταν ἔχουν τόσες πολλὲς διαφορές;

ΘΕΑΙ. Δὲν θὰ ἦταν σωστό.

ΣΩ. Ποιά ὀνομασία θὰ ἀπέδιδες ἑπομένως στὸ πρῶτο, στὴν ὅραση, τὴν ἀκοή, τὴν ὀσμή, τὸ νὰ κρυώνει ἢ νὰ ζεσταίνεται κάποιος;

ΘΕΑΙ. Τὸ ὅτι αἰσθάνεται. Τί ἄλλο;

ΣΩ. Συνεπῶς, συνολικὰ τὸ ἀποκαλεῖς αἴσθηση;

ΘΕΑΙ. Ὑποχρεωτικά.

ΣΩ. Αὐτό, δηλαδή, γιὰ τὸ ὁποῖο εἴπαμε ὅτι δὲν εἶναι σὲ θέση νὰ ἀγγίξει τὴν ἀλήθεια οὔτε τὴν οὐσία.

ΘΕΑΙ. Ὄχι, βέβαια.

ΣΩ. Οὔτε τὴ γνώση, ἑπομένως.

ΘΕΑΙ. Ὄχι.

ΣΩ. Συνεπῶς, Θεαίτητε, δὲν θὰ ἦταν ποτὲ δυνατὸν ἡ αἴσθηση καὶ ἡ γνώση νὰ εἶναι τὸ ἴδιο πράγμα.

ΘΕΑΙ. Φαίνεται πὼς ὄχι, Σωκράτη. Τώρα φανερώθηκε ξεκάθαρα πὼς ἡ γνώση εἶναι κάτι ἄλλο ἀπὸ τὴν αἴσθηση.[59]

187 ΣΩ. Ἀλλ᾽ οὔ τι μὲν δὴ τούτου γε ἕνεκα ἠρχόμεθα διαλεγόμενοι, ἵνα εὕρωμεν τί ποτ᾽ οὐκ ἔστ᾽ ἐπιστήμη, ἀλλὰ τί ἔστιν. ὅμως δὲ τοσοῦτόν γε προβεβήκαμεν, ὥστε μὴ ζητεῖν αὐτὴν ἐν αἰσθήσει τὸ παράπαν ἀλλ᾽ ἐν ἐκείνῳ τῷ ὀνόματι, ὅτι ποτ᾽ ἔχει ἡ ψυχή,
5 ὅταν αὐτὴ καθ᾽ αὑτὴν πραγματεύηται περὶ τὰ ὄντα.

ΘΕΑΙ. Ἀλλὰ μὴν τοῦτό γε καλεῖται, ὦ Σώκρατες, ὡς ἐγῷμαι, δοξάζειν.

ΣΩ. Ὀρθῶς γὰρ οἴει, ὦ φίλε. καὶ ὅρα δὴ νῦν πάλιν ἐξ ἀρχῆς,
b πάντα τὰ πρόσθεν ἐξαλείψας, εἴ τι μᾶλλον καθορᾷς, ἐπειδὴ ἐνταῦθα προελήλυθας. καὶ λέγε αὖθις τί ποτ᾽ ἐστὶν ἐπιστήμη.

ΘΕΑΙ. Δόξαν μὲν πᾶσαν εἰπεῖν, ὦ Σώκρατες, ἀδύνατον, ἐπειδὴ καὶ ψευδής ἐστι δόξα· κινδυνεύει δὲ ἡ ἀληθὴς δόξα ἐπι-
5 στήμη εἶναι, καί μοι τοῦτο ἀποκεκρίσθω. ἐὰν γὰρ μὴ φανῇ προϊοῦσιν ὥσπερ τὸ νῦν, ἄλλο τι πειρασόμεθα λέγειν.

ΣΩ. Οὕτω μέντοι χρή, ὦ Θεαίτητε, λέγειν προθύμως μᾶλλον, ἢ ὡς τὸ πρῶτον ὤκνεις ἀποκρίνεσθαι. ἐὰν γὰρ οὕτω δρῶμεν,
c δυοῖν θάτερα, ἢ εὑρήσομεν ἐφ᾽ ὃ ἐρχόμεθα, ἢ ἧττον οἰησόμεθα εἰδέναι ὃ μηδαμῇ ἴσμεν· καίτοι οὐκ ἂν εἴη μεμπτὸς μισθὸς ὁ τοιοῦτος. καὶ δὴ καὶ νῦν τί φῄς; δυοῖν ὄντοιν ἰδέαιν δόξης, τοῦ μὲν ἀληθινοῦ, ψευδοῦς δὲ τοῦ ἑτέρου, τὴν ἀληθῆ δόξαν ἐπιστήμην
5 ὁρίζῃ;

ΘΕΑΙ. Ἔγωγε· τοῦτο γὰρ αὖ νῦν μοι φαίνεται.

ΣΩ. Ἆρ᾽ οὖν ἔτ᾽ ἄξιον περὶ δόξης ἀναλαβεῖν πάλιν—

ΘΕΑΙ. Τὸ ποῖον δὴ λέγεις;

d ΣΩ. Θράττει μέ πως νῦν τε καὶ ἄλλοτε δὴ πολλάκις, ὥστ᾽ ἐν ἀπορίᾳ πολλῇ πρὸς ἐμαυτὸν καὶ πρὸς ἄλλον γεγονέναι, οὐκ ἔχοντα εἰπεῖν τί ποτ᾽ ἐστὶ τοῦτο τὸ πάθος παρ᾽ ἡμῖν καὶ τίνα τρόπον ἐγγιγνόμενον.

ΣΩ. Ἀλλὰ ὅμως, ὅταν ἀρχίσαμε τὴ συζήτηση, τὸ θέμα μας δὲν ἦταν νὰ βροῦμε τί δὲν εἶναι ἡ γνώση, ἀλλὰ τί εἶναι. Ἔχουμε παρ᾽ ὅλα ταῦτα κάνει ἀρκετὴ πρόοδο, ὥστε νὰ μὴν τὴν ἀναζητοῦμε καθόλου στὴν αἴσθηση, ἀλλὰ σὲ ἐκεῖνο μὲ τὸ ὁποῖο καταγίνεται ἡ ψυχὴ ὅταν πραγματεύεται αὐτὴ καθαυτὴν ὅσον ἀφορᾶ ὅσα ἰσχύουν, ὅ,τι καὶ ἂν τὸ ὀνομάσουμε αὐτό.

ΘΕΑΙ. Ἀλλὰ ὅμως, Σωκράτη, ὅπως νομίζω, αὐτὸ ἀποκαλεῖται νὰ ἔχει κάποιος μιὰ πεποίθηση.

ΣΩ. Ὀρθῶς τὸ νομίζεις, φίλε μου. Κοίταξε λοιπὸν πάλι ἐξ ἀρχῆς, ἐξαλείφοντας ὅλα ὅσα προηγήθηκαν, ἂν βλέπεις κάπως καλύτερα ἀπὸ τὸ σημεῖο στὸ ὁποῖο ἔχεις φτάσει, καὶ πές μου τώρα τί εἶναι ἡ γνώση.

ΘΕΑΙ. Εἶναι ἀδύνατον νὰ πεῖ κανεὶς ὅτι εἶναι ἡ κάθε πεποίθηση, ἐπειδὴ ὑπάρχει καὶ ψευδὴς πεποίθηση. Φαίνεται λοιπὸν ὅτι ἡ γνώση εἶναι ἡ ἀληθὴς πεποίθηση, ὁπότε ἂς εἶναι αὐτὴ ἡ ἀπάντησή μου. Καὶ ἂν καθὼς προχωροῦμε φανεῖ, ὅπως καὶ προηγουμένως, ὅτι τοῦτο δὲν ἰσχύει, τότε θὰ ἐπιχειρήσουμε νὰ ποῦμε κάτι ἄλλο.

ΣΩ. Ἔτσι πρέπει λοιπόν, Θεαίτητε, νὰ ἀπαντᾶς μὲ προθυμία καὶ ὄχι ὅπως πρωτύτερα, ὅταν δίσταζες νὰ ἀποκριθεῖς. Διότι, ἂν τὸ κάνουμε αὐτό, τότε ἢ θὰ βροῦμε αὐτὸ ποὺ ψάχνουμε, ἢ θὰ ἔχουμε λιγότερο τὴν ἐντύπωση ὅτι γνωρίζουμε αὐτὸ ποὺ δὲν τὸ γνωρίζουμε καθόλου. Καὶ τοῦτο δὲν θὰ ἦταν μικρὴ ἀνταμοιβή. Ὅποτε λοιπόν, τί εἶναι αὐτὸ ποὺ τώρα ἰσχυρίζεσαι; Ὅτι ὑπάρχουν δύο μορφὲς πεποίθησης, μιὰ ἀληθὴς καὶ μιὰ ψευδής, καὶ ὅτι ὁρίζεις τὴ γνώση ὡς τὴν ἀληθῆ πεποίθηση;[60]

ΘΕΑΙ. Ναί, αὐτὸ πιστεύω τώρα.

ΣΩ. Μήπως λοιπόν, σὲ ὅ,τι ἀφορᾶ τὴν πεποίθηση, θὰ ἄξιζε νὰ ἐπανέλθουμε καὶ πάλι...

ΘΕΑΙ. Σὲ ποιό σημεῖο ἐννοεῖς;

ΣΩ. ...σὲ κάτι ποὺ μὲ ἔχει ἀπασχολήσει καὶ ἄλλοτε, πολλὲς φορές, ἔτσι ὥστε νὰ περιέρχομαι σὲ μεγάλη ἀμηχανία καὶ ἀπὸ μόνος μου καὶ μὲ ἄλλους, χωρὶς νὰ ἔχω νὰ πῶ τί εἶναι αὐτὸ ποὺ μᾶς συμβαίνει καὶ πῶς παρουσιάζεται.